„νημερτὲc μὲν δή μοι ὑπόcχεο καὶ κατάνευcον, 2
ἢ ἀπόϝειπ᾽, ἐπεὶ οὔ τοι ἔπι δϝέοc, ὄφρ᾽ ἐὺ ϝειδῶ,
ὅccον ἐγὼ μετὰ πᾶcιν ἀτιμοτάτη θεόc εἰμι."
τὴν δὲ μέγ᾽ ὀχθήcαc προcέφη νεφεληγερέτα Ζεύc·
„ἦ δὴ λοίγια ϝέργ᾽, ὅ τε μ᾽ ἐχθοδοπῆcαι ἐφήcειc
῞Ηρῃ, ὅτ᾽ ἄν μ᾽ ἐρέθῃcιν ὀνειδείοιcι ϝέπεccιν.
ἡ δὲ καὶ αὔτωc μ᾽ αἰὲν ἐν ἀθανάτοιcι θεοῖcιν
νεικεῖ, καί τέ μέ φηcι μάχῃ Τρώεccιν ἀρήγειν.
ἀλλὰ cὺ μὲν νῦν αὖτιc ἀπόcτιχε, μή τι νοήcῃ
῞Ηρη· ἐμοὶ δέ κε ταῦτα μελήcεται, ὄφρα τελέccω.
εἰ δ᾽ ἄγε τοι κεφαλῇ κατανεύcομαι, ὄφρα πεποίθῃc·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ᾽ ἀθανάτοιcι μέγιcτον
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ᾽ ἀπατηλόν
οὐδ᾽ ἀτελεύτητον, ὅ τί κεν κεφαλῇ κατανεύcω."
ἦ, καὶ κυανέῃcιν ἐπ᾽ ὀφρύcι νεῦcε Κρονίων·
ἀμβρόcιαι δ᾽ ἄρα χαῖται ἐπερρώcαντο ϝάνακτοc
κρατὸc ἀπ᾽ ἀθανάτοιο· μέγαν δ᾽ ἐλέλιξεν ῎Ολυμπον.
τώ γ᾽ ὣc βουλεύcαντε διέτμαγεν· ἡ μὲν ἔπειτα
εἰc ἅλαδ᾽ ἆλτο βαθεῖαν ἀπ᾽ αἰγλήεντοc ᾿Ολύμπου,
Ζεὺc δὲ ἑὸν πρὸc δῶμα. θεοὶ δ᾽ ἅμα πάντεc ἀνέcταν
ἐξ ἑδέων, cφοῦ πατρὸc ἐναντίον· οὐδέ τιc ἔτλη
μεῖναι ἐπερχόμενον, ἀλλ᾽ ἀντίοι ἔcταν ἅπαντεc.
ὣc ὃ μὲν ἔνθα καθέζετ᾽ ἐπὶ θρόνου· οὐδέ μιν ῞Ηρη
ἠγνοίηcε ϝιδοῦc᾽ ὅτι ϝοι cυμφράccατο βουλάc
ἀργυρόπεζα Θέτιc, θυγάτηρ ἁλίοιο γέροντοc.
αὐτίκα κερτομίοιcι Δία Κρονίωνα προcηύδα·
„τίc δ᾽ αὖ τοι, δολομῆτα, θεῶν cυμφράccατο βουλάc;
αἰεί τοι φίλον ἐcτίν, ἐμεῦ ἀπονόcφιν ἐόντα

517 = Δ 30. Η 454   528 = Ρ 209   531 = ν 439   540 = δ 462.

515 οὔτι CD — ἔπι C: ἔπει AD   518 γρ. ἤδη Eust., cf. Α 573 — ὅ τε Bekker: ὅτε codd.   519 ῞Ηρῃ A: ῞Ηρη CD Ar. — ὀνειδείοις ἐπέεσσιν codd., cf. § 85   520 αἰὲν Hermann ad hymn. Ven. 202: αἰεὶ ACD   520 αὔτως A, cf. prol. p. 132   522 μή τι Ar.: μή σε codd.   524 γρ. ἐπινεύσομαι schol. A   528 κυανέοισιν C   530 κρητὸς Zen. — ἐϜέλιξεν Cobet misc. crit. p. 278, cf. prol. p. 159   531 διέτμαγον vitiose ab aliis scribi adnotat schol. A   532 εἰς ἅλαδ᾽ Bentley collato κ 351: εἰς ἅλα codd. ἆλτο codd.   534 ἑδέων ACD: γρ. ἑδρέων schol. A — ἅλτο Bekker Hom. Bl. II 11, cf. prol. p. 127   540 δὴ αὖ Bekker, v. Α 131 — δολόμητι Nauck   541 ἀπὸ νόσφιν codd.

κρυπτάδια φρονέοντα δικαζέμεν· οὐδέ τί πώ μοι 2
πρόφρων τέτληκαc ϝειπεῖν ϝέποc ὅττι νοήcῃc."
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν τε·
„῞Ηρη, μὴ δὴ πάνταc ἐμοὺc ἐπιϝέλπεο μύθουc
ϝειδήcειν· χαλεποί τοι ἔcοντ᾽ ἀλόχῳ περ ἐούcῃ.
ἀλλ᾽ ὃν μέν κ᾽ ἐπιϝεικὲc ἀκουέμεν, οὔ τιc ἔπειτα
οὔτε θεῶν πρότεροc τὸν ϝείcεται οὔτ᾽ ἀνθρώπων·
ὃν δέ κ᾽ ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆcαι,
μή τι cὺ ταῦτα ϝέκαcτα διείρεο μηδὲ μετάλλα."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπιc πότνια ῞Ηρη·
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπεc;
καὶ λίην cε πάροc γ᾽ οὔτ᾽ εἴρομαι οὔτε μεταλλῶ,
ἀλλὰ μάλ᾽ εὔκηλοc τὰ φράζεαι, ἅcc᾽ ἐθέληcθα.
νῦν δ᾽ αἰνῶc δείδοικα κατὰ φρένα μή cε παρείπῃ
ἀργυρόπεζα Θέτιc, θυγάτηρ ἁλίοιο γέροντοc·
ἠερίη γὰρ coί γε παρέζετο καὶ λάβε γούνων.
τῇ c᾽ ὀίω κατανεῦcαι ἐτήτυμον, ὡc ᾿Αχιλῆα
τιμήcῃc, ὀλέcῃc δὲ πολῦc ἐπὶ νηυcὶν ᾿Αχαιῶν."
τὴν δ᾽ ἀπαμειβόμενοc προcέφη νεφεληγερέτα Ζεύc·
„δαιμονίη, αἰεὶ μὲν ὀίεαι, οὐδέ cε λήθω,
πρῆξαι δ᾽ ἔμπηc οὔ τι δυνήcεαι, ἀλλ᾽ ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔcεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔcται.
εἰ δ᾽ οὕτω τοῦτ᾽ ἐcτίν, ἐμοὶ μέλλει φίλον εἶναι.
ἀλλ᾽ ἀκέουcα κάθηcο, ἐμῷ δ᾽ ἐπιπείθεο μύθῳ,
μή νύ τοι οὐ χραίcμωcιν ὅcοι θεοί εἰc᾽ ἐν ᾿Ολύμπῳ
ἆccον ἰόνθ᾽, ὅτε κέν τοι ἀάπτουc χεῖραc ἐφείω."
ὣc ἔφατ᾽, ἔδϝειcεν δὲ βοῶπιc πότνια ῞Ηρη,

551 = Δ 50. Π 439. Σ 360. Τ 309   552 = Δ 25. Θ 462. Ξ 330. Π 440. Σ 361   556 = Α 538   560 = Ε 764. Θ 469   562 = β 191   566—7 cf. Σ 443. Ο 105.

543 νοήσεις C   547 κ᾽: σ᾽ Wakefield   548 τόν γ᾽ codd.   549 ἐθέλωμι Hermann op. II 38: ἐθέλοιμι codd.   553 γρ. οὐδὲ μεταλλῶ schol. A, unde οὐκ εἴρομαι οὐδὲ μεταλλῶ coniecit Mayhoff de Rhiani stud. p. 45   554 ὅττι θέλησθα Dionysius Sidonius   555 παρείπῃ: παραιφῇ coni. Bekker Hom. Bl. II 233, παρέλθῃ coni. Nauck, παρεῖπε Thiersch Gramm. § 339 collato ε 300   557 σ᾽ ἦ γε Bekker Hom. Bl. II 232   559 τιμήσῃς ὀλέσῃς AC: τιμήσεις ὀλέσεις D m. pr., τιμήσαις ὀλέσαις Naber quaest. hom. 99 — πολῦς scripsi duce Zenodoto: πολέας codd., cf. prol. § 86   560 γρ. τὴν δὲ μέγ᾽ ὀχθήσας schol. A   567 ἰόνθ᾽ codd.: ἰόντε Zen. ἰόντι Ar. — ἀέπτους Aristoph.

καί ῥ᾽ ἀκέουσα καθῆστο, ἐπιγνάμψασα φίλον κῆρ· 2
ὤχθησαν δ᾽ ἀνὰ δῶμα Διὸς θεοὶ Οὐρανίωνες·
τοῖσιν δ᾽ Ἥφαιστος κλυτοτέχνης ἦρχ᾽ ἀγορεύειν,
μητρὶ φίλῃ ἐπὶ Ϝῆρα φέρων, λευκωλένῳ Ἥρῃ·
„ἦ δὴ λοίγια Ϝέργα τάδ᾽ ἔσσεται. οὐδ᾽ ἔτ᾽ ἀνεκτά,
εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον· οὐδέ τι δαιτός
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
μητρὶ δ᾽ ἐγὼ παράφημι, καὶ αὐτῇ περ νοεούσῃ,
πατρὶ φίλῳ ἐπὶ Ϝῆρα φέρειν Διί, ὄφρα μὴ αὖτε
νεικείῃσι πατήρ, σὺν δ᾽ ἡμῖν δαῖτα ταράξῃ.
εἴ περ γάρ κ᾽ ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητής
ἐξ ἑδέων στυφελίξαι· ὃ γὰρ πολὺ φέρτατός ἐστιν.
ἀλλὰ σὺ τόν γε Ϝέπεσσι καθάπτεσθαι μαλακοῖσιν·
αὐτίκ᾽ ἔπειθ᾽ ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν."
ὣς ἄρ᾽ ἔφη, καὶ ἀναΐξας δέπας ἀμφικύπελλον
μητρὶ φίλῃ ἐν χειρὶ τίθει, καί μιν προσέϜειπεν·
„τέτλαθι, μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ,
μή σε φίλην περ ἐοῦσαν ἐν ὀφθαλμοῖσι Ϝίδωμαι
θεινομένην. τότε δ᾽ οὔ τι δυνήσομαι ἀχνύμενός περ
χραισμεῖν· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι.
ἤδη γάρ με καὶ ἄλλοτ᾽ ἀλεξέμεναι μεμαῶτα
Ϝρῖψε, ποδὸς τεταγών, ἀπὸ βηλοῦ θεσπεσίοιο.
πᾶν δ᾽ ἦμαρ φερόμην, ἅμα δ᾽ ἠελίῳ καταδύντι
κάππεσον ἐν Λήμνῳ· ὀλίγος δ᾽ ἔτι θυμὸς ἐνῆεν·
ἔνθα με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα."
ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη,
μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον.
αὐτὰρ ὃ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν

570ᵃ = *Ο* 101 575—6 = σ 403—4 585 = *Α* 441 586 = *Ε* 382 588 = *Α* 241 595 = *Ξ* 222. *Φ* 434.

569 *ἐπιγνάψασα* D 572 *ἐπὶ ἦρα* Herodianus: *ἐπίηρα* Ar., vide La Roche Hom. Text. 257 — *φέρων τετιημένη ἦτορ* scribendum fuisse putat schol. B 573 γρ. *ἤδη* Eust., cf. *Α* 518 — *οὐδέ τ᾽* C 574 *σφῷ* hic et ceteris locis (*Λ* 782. *Ν* 47. *Ο* 146) reponi iussit Cobet misc. crit. p. 259, cf. prol. p. 115 576 *ἔσται Ϝῆδος* Bentley, *ἔσσεται ἐσθλῆς Ϝῆδος* Nauck, cf. prol. p. 161 581 *ἑδέων* ACD, cf. *Α* 534 — *στυφελίξει* Bentley 585 *χειρὶ* cum edit. Massil. Ar.: *χερσὶ* ACD, quod recte se habet *Α* 441 593 γρ. *ἐς Λῆμνον* schol. A.

Ϝοινοχόει γλυκὺ νέκταρ, ἀπὸ κρητῆρος ἀφύσσων. 2
ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο γέλος μακάρεσσι θεοῖσιν,
ὡς Ϝίδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
οὐ μὲν φόρμιγγος περικαλλέος, ἣν ἔχ᾽ Ἀπόλλων,
Μουσάων θ᾽, αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
οἳ μὲν κακκείοντες ἔβαν Ϝοῖκόνδε Ϝέκαστος,
ἧχι Ϝεκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
Ἥφαιστος ποίησε Ϝιδυίῃσι πραπίδεσσιν,
Ζεὺς δὲ ἑὸν λέχος ἤι᾽ Ὀλύμπιος ἀστεροπητής,
ἔνθα πάρος κοιμᾶθ᾽, ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι.
ἔνθα καθεῦδ᾽ ἀναβάς, παρὰ δὲ χρυσόθρονος Ἥρη.

ΟΝΕΙΡΟΣ ΔΙΑΠΕΙΡΑ.

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί B
εὗδον παννύχιοι, Δία δ᾽ οὐκ ἔχε Ϝήδυμος ὕπνος,
ἀλλ᾽ ὅ γε μερμήριζε κατὰ φρένα, ὡς Ἀχιλῆα
τιμήσει᾽, ὀλέσαι δὲ πολῦς ἐπὶ νηυσὶν Ἀχαιῶν.

599 = *Θ* 326 601 = *Τ* 162. *Ω* 713 602 = *Α* 468 606 = *Ψ* 58 608 = *Υ* 12 610 = τ 49.
B 1—2 = *Κ* 1—2. *Ω* 677—8. ο 4—7 4 cf. *Α* 559.

598 *οἰνοχόει* ex vetustis exemplaribus Ar.: *ᾠνοχόει* ACD 599 *γέλος* Bentley: *γέλως* codd., cf. prol. p. 111 606 γρ. *δὴ κείοντες* schol. L 607 *ἧχι* Ar.: *ᾗχι* A 608 *ποίησεν ἰδ.* A *ποίησ᾽ εἰδ.* CD 609 *ἑὸν* (immo *Ϝεὸν*) *λέχος* scripsi, *πρὸς ὃν* codd., *ἐπ᾽ ἑϜὸν* Bekker collato *Κ* 336, *πρὸς λέχος* Bentley 611 *ἔνθ᾽ ἐκάθευδ᾽* Zen. versum ab rhapsodo nescio quo additum iudicat Bergk Griech. Litt. p. 496; ab altero hoc carmine et ad tertium sive *Β* 1 et ad decimum sive *Λ* 1 transire rhapsodis licuit.

Librum B si minus ex tribus, saltem ex duabus partibus constare iam titulis libri indicatum esse monui in prol. § 4; prior pars sive *Ὄνειρος καὶ Βουλὴ γερόντων* (*Β* 1—47. 53—58) a carmine *Διαπείρας* primum afuisse et postea, quo arctius secundus liber cum primo coniungeretur, veteri illi carmini praetexta esse videtur; aliam et audaciorem viam in separandis his partibus libri inierunt Lachmannus et Koechlius.
V. 1 *ὦλλοι* Zen. 2 γρ. *ἥδυμος* schol. A: *νήδυμος* codd., cf. Buttmann Lexil. I 179 et prol. p. 161 3 *ὅ γε* AD: *ὅδε* C 4 γρ. *τιμήσει* A, *τιμήσει᾽ . . ὀλέσαι* Bekker: *τιμήσῃ . . ὀλέσῃ* A in textu et CD — *πολῦς* Zen.: *πολέας* codd., cf. prol. § 86.

ἥδε δέ Ϝοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή, 3
πέμψαι ἐπ' Ἀτρεΐδῃ Ἀγαμέμνονι οὖλον Ὄνειρον.
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„βάσκ' ἴθι, οὖλος Ὄνειρε, θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο
πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω.
θωρῆξαί Ϝε κέλευε καρηκομόωντας Ἀχαιοὺς
πανσυδίῃ· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν
Τρώων· οἱ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται.“
 ὣς φάτο, βῆ δ' ἄρ' Ὄνειρος, ἐπεὶ τὸν μῦθον ἄκουσεν.
καρπαλίμως δ' ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν,
βῆ δ' ἄρ' ἐπ' Ἀτρεΐδην Ἀγαμέμνονα· τὸν δὲ κίχανεν
εὕδοντ' ἐν κλισίῃ, περὶ δ' ἀμβρόσιος κέχυθ' ὕπνος.
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς Νηληίῳ υἷι ϜεϜοικώς,
Νέστορι, τόν ῥα μάλιστα γερόντων τῖ' Ἀγαμέμνων.
τῷ μιν Ϝεισάμενος προσεφώνεεν οὖλος Ὄνειρος·
„εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ' ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὅς σευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.
θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιοὺς
πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται

5 = *Κ* 17. *Ξ* 161 7 = *Α* 201 8ª = *Λ* 186. *Θ* 399 17ᵇ = *Λ* 12 26 = *Β* 63. *Ω* 133 27 = *Ω* 174 28—32 = 11—15.

8 οὖλος Naber quaest. hom. p. 136 collato *Δ* 189: οὖλε codd. 9 ἐς AD: δ' ἐς C 12. 29. 66 πανσυδίῃ ACD Ar.: πασσυδίῃ dett. codd., cf. La Roche Hom. Text. 395 11 κάρη κομόωντας A et sic fere 12 ἕλοι ACD Zen.: ἕλοις Ar. 14 ἐπέγναψε C et sic fere variant codd. 15 Τρώεσσι δὲ κήδε' ἐφῆπται codd.: δίδομεν (διδόμεν Hippias) δέ οἱ εὖχος ἀρέσθαι (= *Φ* 297) Aristoteles soph. el. p. 166ᵇ 7 et poet. p. 1461ª 23 18 δ' ἐκιχ. codd. 22 ἐεισάμενος codd., cf. prol. p. 165 — γρ. οὖλος schol. A: θεῖος ACD, quod ab usu Homerico abhorrere monui prol. p. 178 27 et 64 damnat Ar. 28 σ' ἐκέλευσε AC σε κέλευε D.

ἐκ Διός. ἀλλὰ σὺ σῇσιν ἔχε φρεσί, μηδέ σε λήθη 3
αἱρείτω, εὖτ' ἄν σε μελίφρων ὕπνος ἀνείῃ.“
 ὣς ἄρα φωνήσας ἀπεβήσετο, τὸν δ' ἔλιπ' αὐτοῦ
τὰ φρονέοντ' ἀνὰ θυμὸν ἅ ῥ' οὐ τελέεσθαι ἔμελλον.
φῆ γὰρ ὅ γ' αἱρήσειν Πριάμου πόλιν ἤματι κείνῳ,
νήπιος, οὐδὲ τὰ Ϝείδη ἅ ῥα Ζεὺς μήδετο Ϝέργα·
θήσειν γὰρ ἔτ' ἔμελλεν ἐπ' ἄλγεά τε στοναχάς τε
Τρωσί τε καὶ Δαναοῖσι διὰ κρατερὰς ὑσμίνας.
ἔγρετο δ' ἐξ ὕπνου. θείη δέ μιν ἀμφέχυτ' ὀμφή.
ἕζετο δ' ὀρθωθείς, μαλακὸν δ' ἔνδυνε χιτῶνα,
καλὸν νηγάτεον, περὶ δὲ μέγα βάλλετο φᾶρος,
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον,
εἵλετο δὲ σκῆπτρον πατρώιον, ἄφθιτον αἰεί·
σὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
 Ἠὼς μέν ῥα θεὰ προσεβήσετο μακρὸν Ὄλυμπον
Ζηνὶ φόως Ϝερέουσα καὶ ἄλλοις ἀθανάτοισιν·
αὐτὰρ ὃ κηρύκεσσι λιγυφθόγγοισι κέλευσεν
κηρύσσειν ἀγορήνδε καρηκομόωντας Ἀχαιούς.
οἳ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
 βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων
Νεστορέῃ παρὰ νηὶ Πυλοιγενέος βασιλῆος.
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἠρτύνετο βουλήν·
„κλῦτε, φίλοι. θεῖός μοι ἐνύπνιον ἦλθεν Ὄνειρος
ἀμβροσίην διὰ νύκτα, μάλιστα δὲ Νέστορι δίῳ

35 = *Α* 428 42 = α 436 44 = *Κ* 22. 132. *Ξ* 186. *Ω* 340 45 = *Γ* 334. *Π* 135. *Τ* 372 46ᵇ = *Ν* 22 50—2 = *Β* 442—4. β 6—8 50 = *Ι* 10 55 = *Κ* 302 56 = ξ 495 57ª = *Κ* 41. 142. *Ω* 363. ι 404 . . .

34 ἀνήῃ codd. et Ar., cf. prol. § 90 35 ἀπεβήσατο D — δὲ λίπ' A 36 ἔμελλον Ar.: ἔμελλε ACD Zen. 38 ἤδη AC ἤδει D, cf. prol. p. 158 44 ὑπὸ: γρ. ὑπαὶ Eust. 48 προσεβήσατο CD 50 κέλευε CD 48—52 si veteris fuerunt carminis, sic fere audivisse videntur Ἠὼς μὲν . . . ἀθανάτοισιν | Ἀτρείδης δὲ Ϝάναξ ἀνδρῶν κήρυξι κέλευσεν | κηρύσσειν ἀγορήνδε καρηκομόωντας Ἀχαιούς· | οἳ μὲν ἐκήρυσσον κ. τ. λ. vv. 53—86. 143. 194 ab eodem poeta interpolatos esse docuit Lachmann Betr. p. 12 53 βουλὴν ACD Zen.: βουλὴ Ar. 54 Πυληγενέος CD 55 αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο, τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων Zen., cf. Schoemann de reticentia Homeri p. 3 56 θεῖον Zen. — ἐνύπνιος D.

ϝεῖδός τε μέγεθός τε φυήν τ᾽ ἄγχιστα ϝεϝοίκει. 3
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς, καί με πρὸς μῦθον ἔϝειπεν·
‚εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο;
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ᾽ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.
νῦν δ᾽ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὅς σευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.
θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιούς
πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶς Ὀλύμπια δώματ᾽ ἔχοντες
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε᾽ ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῇσιν ἔχε φρεσίν.‘ ὣς ὃ μὲν εἰπών
ᾤχετ᾽ ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν.
ἀλλ᾽ ἄγετ᾽, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
πρῶτα δ᾽ ἐγὼ ϝέπεσιν πειρήσομαι, ἣ θέμις ἐστίν,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϝισι κελεύσω·
ὑμεῖς δ᾽ ἄλλοθεν ἄλλος ἐρητύειν ϝεπέεσσιν.“
    ἦ τοι ὅ γ᾽ ὣς ϝειπὼν κατ᾽ ἄρ᾽ ἕζετο, τοῖσι δ᾽ ἀνέστη
Νέστωρ, ὅς ῥα Πύλοιο ϝάναξ ἦν ἠμαθόεντος·
ὅ σφιν ἐυφρονέων ἀγορήσατο καὶ μετέϝειπεν·
„ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπεν,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δὲ ϝίδ᾽ ὃς μέγ᾽ ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.
ἀλλ᾽ ἄγετ᾽, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.“
    ὣς ἄρα φωνήσας βουλῆς ἐξ ἦρχε νέεσθαι,
οἳ δ᾽ ἐπανέστησαν πείθοντό τε ποιμένι λαῶν,
σκηπτοῦχοι βασιλῆες. ἐπεσσεύοντο δὲ λαοί.

58 = ζ 152   59 = Ψ 68. Ω 682. Η 46   60—70 = 23—33 73^b = Ψ 581. Ω 652. Ι 33. γ 45. λ 451   76 = Α 68   78 = Α 73   79 = Ι 17. Κ 533. Λ 276 . .   81 = Ω 222   82 = Α 91   83 = 72 84^a = Ζ 116. 369. Ρ 188 . . .   85 cf. Α 273. Β 105.

58 ἐῴκει codd.   60—70 Zenodotus hunc in modum contraxit: ἠνώγει σε πατὴρ ὑψίζυγος αἰθέρι ναίων Τρωσὶ μαχήσασθαι προτὶ Ἴλιον· ὣς ὁ μὲν εἰπών   64 damnat Ar.   65 σε κέλευσε A σ᾽ ἐκέλευσε C σε κέλευε D, cf. Β 28   70 ὅ γε ϝειπών Bekker   73 ἣ CD: ἡ A, cf. prol. § 84   76—83 ἀθετοῦνται schol. A   82 Ἀχαιῶν: ἐνὶ στρατῷ Eust., cf. Α 91.

    ἠύτε Fέθνε᾽ ἴασι μελισσάων ἁδινάων, 3
πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων·
βοτρυδὸν δὲ πέτονται ἐπ᾽ ἄνθεσι Fειαρινοῖσιν·
αἳ μέν τ᾽ ἔνθα Fάλις πεποτήαται, αἳ δέ τε ἔνθα·
ὣς τῶν Fέθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων
ἠιόνος προπάροιθε βαθείης ἐστιχόωντο
ἰλαδὸν εἰς ἀγορήν. μετὰ δέ σφισιν Ὄσσα δεδήει
ὀτρύνουσ᾽ ἰέναι, Διὸς ἄγγελος· οἳ δ᾽ ἀγέροντο.
τετρήχει δ᾽ ἀγορή, ὑπὸ δὲ στεναχίζετο γαῖα
λαῶν ἱζόντων, ὅμαδος δ᾽ ἔεν. ἐννέα δέ σφας
κήρυκες βοόωντες ἐρήτυον, εἴ ποτ᾽ ἀυτῆς
σχοίατ᾽, ἀκούσειαν δὲ διοτρεφέων βασιλήων.
σπουδῇ δ᾽ ἕζετο λαός, ἐρήτυθεν δὲ καθ᾽ ἕδρας
παυσάμενοι κλαγγῆς. ἀνὰ δὲ κρείων Ἀγαμέμνων
ἔστη σκῆπτρον ἔχων, τὸ μὲν Ἥφαιστος κάμε τεύχων.
Ἥφαιστος μὲν δῶκε Διὶ Κρονίωνι Fάνακτι,
αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργεϊφόντῃ·
Ἑρμείας δὲ Fάναξ δῶκεν Πέλοπι πληξίππῳ,
αὐτὰρ ὃ αὖτε Πέλοψ δῶκ᾽ Ἀτρέι ποιμένι λαῶν·
Ἀτρεὺς δὲ θνῄσκων ἔλιπεν πολύFαρνι Θυέστῃ,
αὐτὰρ ὃ αὖτε Θυέστ᾽ Ἀγαμέμνονι λεῖπε φορῆναι,
πολλῇσιν νήσοισι καὶ Ἄργεϊ παντὶ Fανάσσειν.
τῷ ὅ γ᾽ ἐρεισάμενος Fέπε᾽ Ἀργείοισι μετηύδα·
„ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ,
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλεFέ᾽ Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.

109 = Θ 496   110 = Ζ 67. Ο 733. Τ 78   111—8 = Ι 18—25   113 = Β 288. Ε 716. Ι 20.

87 in vetere carmine vv. 48—52 antecessisse videntur — ἔθνε᾽ ἴασι Bentley collato Π 160: ἔθνεα εἶσι codd. — ἁδινάων A: ἀδινάων CD et sic fere, cf. prol. p. 133   93 εἰλαδὸν A m. pr.   95 στεναχίζετο A: στοναχίζετο CD   96 σφὰς C: σφέας AD — ἦν codd.   102 ἔδωκε Bekker   108 ab Argivo rhapsodo additum esse opinatur Bergk Gr. Lit. p. 548   111 μέγα ACD: μέγας Ar.   112—118 om. Zen.   113 εὐτείχεα reponi iubet Nauck, cf. ad Α 129   115 δυσκλέα codd., cf. prol. p. 180.

οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι, 3
ὃς δὴ πολλάων πολίων κατέλυςε κάρηνα
ἠδ' ἔτι καὶ λύςει· τοῦ γὰρ κράτος ἐςτὶ μέγιςτον.
αἰςχρὸν γὰρ τόδε γ' ἐςτὶ καὶ ἐςςομένοιςι πυθέςθαι,
μὰψ οὕτω τοιόνδε τοςόνδε τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεςθαι
ἀνδράςι παυροτέροιςι, τέλος δ' οὔ πώ τι πέφανται.
εἴ περ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε,
ὅρκια πιςτὰ ταμόντες, ἀριθμηθήμεναι ἄμφω,
Τρῶας μὲν λέξαςθαι ἐφέςτιοι ὅςςοι ἔαςιν,
ἡμεῖς δ' ἐς δεκάδας διακοςμηθεῖμεν Ἀχαιοί,
Τρώων δ' ἄνδρα Fέκαςτοι ἑλοίμεθα Fοινοχοεύειν,
πολλαί κεν δεκάδες δευοίατο Fοινοχόοιο.
τόςςον ἐγώ φημι πλέας ἔμμεναι υἷας Ἀχαιῶν
Τρώων, οἳ ναίουςι κατὰ πτόλιν. ἀλλ' ἐπίκουροι
πολλέων ἐκ πολίων ἐγχέςπαλοι ἄνδρες ἔαςιν,
οἵ με μέγα πλάζουςι καὶ οὐκ εἰῶς' ἐθέλοντα
Ἴλιον ἐκπέρςαι, εὐναιόμενον πτολίεθρον.
ἐννέα δὴ βεβάαςι Διὸς μεγάλου ἐνιαυτοί,
καὶ δὴ δοῦρα ςέςηπε νεῶν καὶ ςπάρτα λέλυνται,
αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα
εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι· ἄμμι δὲ Fέργον
αὔτως ἀκράαντον, οὗ εἵνεκα δεῦρ' ἱκόμεςθα.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ Fείπω, πειθώμεθα πάντες.
φεύγωμεν ςὺν νηυςὶ φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήςομεν εὐρυάγυιαν."

116 = *Ν* 226. *Ξ* 69. 119 = φ 255 133 cf. *Α* 164. *Δ* 33. *Θ* 288. *Ι* 402. *Ν* 380. *Φ* 433 139—41 = *Ι* 26—8. 139 = *Ι* 26. 704. *Μ* 75 . .

116—8 damnat Bekker Hom. Bl. II 111 124 *ἀθετεῖται* schol. A 125 *Τρῶας* AD: *Τρῴας* C, aliam lectionem *Τρῶες* fuisse obscure significat schol. A, qua de re confer Friedlaenderum Ariston. fr. p. 61 126 *διακοσμηθῆμεν* C *διακοσμηθείημεν* D 127 γρ. *ἕκαστοι* schol. A: *ἕκαστον* codd. 129 *εὐτείχεα* coni. Nauck 130—3 *ἀθετοῦνται* schol. A 131 *ἐγχεσπάλοι* A nescio an recte — *ἔασιν* codd.: *ἔνεισιν* in altera edit. Ar. 133 *Ἴλιον* Ar.: *Ἰλίου* codd., Aristarchi auctoritatem secutus sum, licet lectio codicum similibus locis *E* 642. *H* 345. *Φ* 126 defendi possit 137 *εἵατ' ἐνὶ* C et γρ. A: *εἵατ' ἐν* A in textu et D, *εἵαται ἐν* Heraclides, ionicae formae *εἵαται* et *εἵατο* veteres et genuinas *ἧαται* et *ἧατο* summovisse videntur; cf. prol. p. 113 — fort. *μεγάροισι δεδεγμέναι* 141 *παρασημειοῦνται οἱ παλαιοί* Eust.

ὣς φάτο, τοῖςι δὲ θυμὸν ἐνὶ ςτήθεςςιν ὄρινεν 3
πᾶσι μετὰ πληθύν, ὅσοι οὐ βουλῆς ἐπάκουσαν.
κινήθη δ' ἀγορὴ φὴ κύματα μακρὰ θαλάσσης,
πόντου Ἰκαρίοιο, τὰ μέν τ' Εὖρός τε Νότος τε
ὤρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων.
ὡς δ' ὅτε κινήςῃ Ζέφυρος βαθὺ λήιον ἐλθών,
λάβρος ἐπαιγίζων, ἐπί τ' ἠμύει ἀςταχύεςςιν,
ὣς τῶν πᾶς' ἀγορὴ κινήθη. τοὶ δ' ἀλαλητῷ
νῆας ἐπ' ἐςςεύοντο, ποδῶν δ' ὑπένερθε κονίη
ἵςτατ' ἀειρομένη. τοὶ δ' ἀλλήλοιςι κέλευον
ἅπτεςθαι νηῶν ἠδ' ἑλκέμεν εἰς ἅλα δῖαν,
οὐρούς τ' ἐξεκάθαιρον· ἀυτὴ δ' οὐρανὸν ἷκεν
Fοίκαδε Fιεμένων· ὑπὸ δ' ἥρεον ἕρματα νηῶν.
ἔνθα κεν Ἀργείοιςιν ὑπέρμορα νόςτος ἐτύχθη,
εἰ μὴ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔFειπεν·
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
οὕτω δὴ Fοῖκόνδε, φίλην ἐς πατρίδα γαῖαν,
Ἀργεῖοι φεύξονται ἐπ' εὐρέα νῶτα θαλάςςης,
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωςὶ λίποιεν
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο, φίλης ἀπὸ πατρίδος αἴης;
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων·
ςοῖς ἀγανοῖςι Fέπεςςιν ἐρήτυε φῶτα Fέκαςτον,
μηδ' εἴα νῆας ἅλαδ' ἑλκέμεν ἀμφιFελίςςας."
ὣς ἔφατ', οὐδ' ἀπίθηςε θεὰ γλαυκῶπις Ἀθήνη.
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀίξαςα,
καρπαλίμως δ' ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.

142 = *Γ* 395. *Δ* 208. Z 51 . . 156 = *Θ* 426 157 = *E* 714. *Φ* 420 158 = ε 204 160 = *Δ* 173 167 = *Δ* 74. *H* 19. *X* 187. *Ω* 121. 168 = 17.

143 *ἀθετεῖται* schol. A 144 *φὴ* Zen.: *ὡς* ACD Ar. 147—8 eiecit Bekker, ipse potius 144—6 a recentiore poeta, qui in insula aliqua Aegei maris habitarit, factos esse existimo 147 *κινήσει* C 148 *ἐπαΐσσων* Aristoph. 156—9 hunc in modum contraxit Zen.: *εἰ μὴ Ἀθηναίη λαοσσόος ἦλθ' ἀπ' Ὀλύμπου· εὗρεν ἔπειτ' Ὀδυσῆα* 160—2 *ἀθετοῦνται* schol. A 161 *Ἀργείην θ' Ἑλένην* Zen. 163 *κατὰ* AC: *μετὰ* D 164 *ἀθετεῖται* schol. A — *ἀγανοῖς ἐπέεσσεν* codd. 165 et 181 *μηδ' εἴα* scripsi: *μηδὲ ἔα* codd. *μηδέ τ' ἔα* Heyne *μηδ' ἐάαν* Nauck, cf. prol. p. 115 168 om. AC, in marg. addit D m. rec.

εὗρεν ἔπειτ' Ὀδυςῆα Διὶ μῆτιν ἀτάλαντον 3
ἑςταότ'· οὐδ' ὅ γε νηὸς ἐυςςέλμοιο μελαίνης
ἥπτετ', ἐπεί μιν ἄχος κραδίην καὶ θυμὸν ἵκανεν.
ἀγχοῦ δ' ἱςταμένη προςέφη γλαυκῶπις Ἀθήνη·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυςςεῦ,
οὕτω δὴ Fοῖκόνδε, φίλην ἐς πατρίδα γαῖαν,
φεύξεςθ' ἐν νήεςςι πολυκλήFιςι πεςόντες,
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωςὶ λίποιτε
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο, φίλης ἀπὸ πατρίδος αἴης;
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν, μηδέ τ' ἐρώει,
ςοῖς δ' ἀγανοῖςι Fέπεςςιν ἐρήτυε φῶτα Fέκαςτον,
μηδ' εἴα νῆας ἅλαδ' ἑλκέμεν ἀμφιFελίςςας.“
ὣς φάθ', ὃ δὲ ξυνέηκε θεᾶς ὄπα φωνηςάςης,
βῆ δὲ θέFειν, ἀπὸ δὲ χλαῖναν βάλε· τὴν δ' ἐκόμιςςεν
κῆρυξ Εὐρυβάτης Ἰθακήςιος, ὅς Fοι ὀπήδει.
αὐτὸς δ' Ἀτρεΐδεω Ἀγαμέμνονος ἀντίος ἐλθών
δέξατό Fοι ςκῆπτρον πατρώιον, ἄφθιτον αἰεί·
ςὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
ὅν τινα μὲν βαςιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
τὸν δ' ἀγανοῖςι Fέπεςςιν ἐρητύςαςκε παραςτάς·
„δαιμόνι', οὔ ςε FέFοικε κακὸν ὣς δειδίςςεςθαι,
ἀλλ' αὐτός τε κάθηςο καὶ ἄλλους ἵδρυε λαούς.
οὐ γάρ πω ςάφα Fοῖςθ' οἷος νόος Ἀτρεΐωνος·
νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν·
ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν οἷον ἔϝειπεν.
μή τι χολωςάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν.
θυμὸς δὲ μέγας ἐςτὶ διοτρεφέος βαςιλῆος,
τιμὴ δ' ἐκ Διός ἐςτι, φιλεῖ δέ Fε μητίετα Ζεύς.“
ὃν δ' αὖ δήμου τ' ἄνδρα Fίδοι βοόωντά τ' ἐφεύροι,

169 = *K* 137. 173 = *Δ* 358. *Θ* 93. *I* 308 174—181 = 158—165
182 = *K* 512. *ω* 535 186—7 = 46—7.

171 *ἥπτετ'* Lange obs. crit. II 14: *ἅπτετ'* codd. 179 *κατὰ* A: *μετὰ* CD — *μὴ δ' ἔτ'* C 180 et 189 *ἀγανοῖς ἐπέεσσιν* codd. 187 *ἔβη* codd. et Ar.: *βὰς* Zen. 192 *Ἀτρείωνος* Aristoph. et Ar.: *Ἀτρείδαο* codd. 193—7 *ἀθετοῦνται* schol. A. 194 cf. adn. ad *B* 55 196 *διοτρεφέος βασιλῆος* AC Ar.: *διοτρεφέων βασιλήων* D Zen. et Arist. rhet. II 2 198 *δήμου τ'* CD: *δήμου* A, fort. *δήμοό τ'*, cf. prol. p. 136.

τὸν ςκήπτρῳ ἐλάςαςκεν, ὁμοκλήςαςκέ τε μύθῳ· 3
„δαιμόνι', ἀτρέμας ἧςο καὶ ἄλλων μῦθον ἄκουε,
οἳ ςέο φέρτεροί εἰςι· ςὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος οὔτ' ἐνὶ βουλῇ.
οὐ μέν πως πάντες βαςιλεύςομεν ἐνθάδ' Ἀχαιοί.
οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔςτω,
εἷς βαςιλεύς, ᾧ δῶκε Κρόνου παῖς ἀγκυλομήτεω.“
[ςκῆπτρόν τ' ἠδὲ θέμιςτας, ἵνα ςφιςι βαςιλεύῃ].
ὣς ὅ γε κοιρανέων δίεπε ςτρατόν· οἳ δ' ἀγορήνδε
αὖτις ἐπεςςεύοντο νεῶν ἄπο καὶ κλιςιάων
Fηχῇ, ὡς ὅτε κῦμα πολυφλοίςβοιο θαλάςςης
αἰγιαλῷ μεγάλῳ βρέμεται, ςμαραγεῖ δέ τε πόντος.
ἄλλοι μέν ῥ' ἕζοντο, ἐρήτυθεν δὲ καθ' ἕδρας·
Θερςίτης δ' ἔτι μοῦνος ἀμετροFεπὴς ἐκολῴα,
ὅς Fέπεα φρεςὶ Fῇςιν ἄκοςμά τε πολλά τε Fείδη
μάψ, ἀτὰρ οὐ κατὰ κόςμον, ἐριζέμεναι βαςιλεῦςιν,
ἀλλ' ὅ τί Fοι Fείςαιτο γελοίιον Ἀργείοιςιν
ἔμμεναι. αἴςχιςτος δὲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν.
φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα· τὼ δέ Fοι ὤμω
κυρτώ, ἐπὶ ςτῆθος ςυνοχωκότε· αὐτὰρ ὕπερθεν
φοξὸς ἔην κεφαλήν, ψεδνὴ δ' ἐπενήνοθε λάχνη.
ἔχθιςτος δ' Ἀχιλῆι μάλιςτ' ἦν ἠδ' Ὀδυςῆι·
τὼ γὰρ νεικείεςκε. τότ' αὖτ' Ἀγαμέμνονι δίῳ
ὀξέα κεκληγὼς λέγ' ὀνείδεα. τῷ δ' ἄρ' Ἀχαιοί
ἐκπάγλως κοτέοντο, νεμέςςηθέν τ' ἐνὶ θυμῷ.
αὐτὰρ ὃ μακρὰ βοῶν Ἀγαμέμνονα νείκεε μύθῳ·
„Ἀτρεΐδη, τέο δ' αὖτ' ἐπιμέμφεαι ἠδὲ χατίζεις;
πλεῖαί τοι χαλκοῦ κλιςίαι, πολλαὶ δὲ γυναῖκες

205^b = *B* 319. *Δ* 75. *I* 37. *M* 450. *Π* 431 . . . 206 = *I* 99
209 = Z 347 222 cf. *ε* 5.

205 *δῶκε* Ar.: *ἔδωκε* codd. — *ἀγκυλόμητις* coni. Nauck 206 om. ACD, habent GL, cf. Dio Chrys. I 11 — *ἐμβασιλεύῃ* Barnes 210 *μεγάλα* Herwerden quaest. ep. 2 213 ὃς: ὃ D — *ῥ' ἔπεα* codd. — *ᾔδη* A *ᾔδει* CD 217 *ἔην*: *ἔεν* ubique reponi iusserunt Leo Meyer et Aug. Nauck, cf. prol. § 111 218 *συνοχωκότε* ACD: *συνοκωχότε* ex Hesychio restitui iussit Cobet misc. crit. p. 303, at vide Bekker Hom. Bl. II 42 220—3 damnat Zen. 225 *δὴ αὖτ'* Zen. 226 *πλεῖαι δὲ γυναικῶν* omissis vv. 227 et 228 Zen.

εἰϲὶν ἐνὶ κλιϲίῃϲ ἐξαίρετοι, ἅϲ τοι Ἀχαιοί 3
πρωτίϲτῳ δίδομεν, εὖτ᾽ ἂν πτολίεθρον ἕλωμεν.
ἦ ἔτι καὶ χρυϲοῦ ἐπιδεύεαι, ὅν κέ τιϲ οἴϲει
Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷοϲ ἄποινα,
ὅν κεν ἐγὼ δήϲαϲ ἀγάγω ἢ ἄλλοϲ Ἀχαιῶν,
ἠὲ γυναῖκα νέην, ἵνα μίϲγῃ ἐν φιλότητι,
ἥν τ᾽ αὐτὸϲ ἀπονόϲφι κατίϲχῃ; οὔ τι FέFοικεν
ἀρχὸν ἐόντα κακῶν ἐπιβαϲκέμεν υἷαϲ Ἀχαιῶν.
ὦ πέπονεϲ, κάκ᾽ ἐλέγχε᾽, Ἀχαιίδεϲ, οὐκέτ᾽ Ἀχαιοί,
Fοίκαδέ περ ϲὺν νηυϲὶ νεώμεθα, τόνδε δ᾽ ἐῶμεν
αὐτοῦ ἐνὶ Τροίῃ γέρα πεϲϲέμεν, ὄφρα Fίδηται
ἤ ῥά τί Fοι χἠμεῖϲ προϲαμύνομεν ἦε καὶ οὐκί.
ὃς καὶ νῦν Ἀχιλῆα, Fέο μέγ᾽ ἀμείνονα φῶτα,
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
ἀλλὰ μάλ᾽ οὐκ Ἀχιλῆι χόλος φρεσίν, ἀλλὰ μεθήμων·
ἦ γὰρ ἄν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο.“
ὣϲ φάτο νεικείων Ἀγαμέμνονα ποιμένα λαῶν
Θερϲίτηϲ. τῷ δ᾽ ὦκα παρίϲτατο δῖοϲ Ὀδυϲϲεύϲ,
καί μιν ὑπόδρα Fιδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
„Θερϲῖτ᾽ ἀκριτόμυθε, λιγύϲ περ ἐὼν ἀγορητήϲ,
ἴϲχεο, μηδ᾽ ἔθελ᾽ οἶοϲ ἐριζέμεναι βαϲιλεῦϲιν.
οὐ γὰρ ἐγὼ ϲέο φημὶ χερειότερον βροτὸν ἄλλον
ἔμμεναι, ὅϲϲοι ἅμ᾽ Ἀτρεΐδῃϲ ὑπὸ Ἴλιον ἦλθον.
τῷ οὐκ ἂν βαϲιλῆαϲ ἀνὰ ϲτόμ᾽ ἔχων ἀγορεύοιϲ,
καί ϲφιν ὀνείδεά τε προφέροιϲ, νόϲτον τε φυλάϲϲοιϲ.
οὐδέ τί πω ϲάφα Fίδμεν ὅπωϲ ἔϲται τάδε Fέργα,
ἢ εὖ ἠὲ κακῶϲ νοϲτήϲομεν υἷεϲ Ἀχαιῶν.
τῷ νῦν Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
ἧσαι ὀνειδίζων, ὅτι Fοι μάλα πολλὰ διδοῦσιν
ἥρωες Δαναοί· σὺ δὲ κερτομέων ἀγορεύεις.

236ᵃ = *Π* 205   240 = *Α* 356   242 = *Α* 232   245 = *Ρ* 141.

227—8 damnat Zen. 231—4 damnat Zen. 232 *μίσγεαι* et 233 *καταΐσχεαι* codd. 233 *οὔ τι* scripsi: *οὐ μὲν* codd. *οὔ σε* Bentley *οὐδὲ* Heyne 239—42 duce Lachmanno eiecit Bekker, cf. prol. p. 23 239 *ἑοῦ* Zen. 250—3 post 264 transponendos censet Lehrs de Arist.[2] 438 250 *τῶ* ACD et sic fere, cf. prol. § 84 252—6 *ἀθετοῦνται* schol. A 254—6 seclusit Wolf.

ἀλλ᾽ ἔκ τοι Fερέω, τὸ δὲ καὶ τετελεϲμένον ἔϲται· 3
εἴ κ᾽ ἔτι ϲ᾽ ἀφραίνοντα κιχήϲομαι ὥϲ νύ περ ὧδε,
μηκέτ᾽ ἔπειτ᾽ Ὀδυϲῆι κάρη ὤμοιϲιν ἐπείη,
μηδ᾽ ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένοϲ εἴην,
εἰ μὴ ἐγώ ϲε λαβὼν ἀπὸ μὲν φίλα Fείματα δύϲω,
χλαῖνάν τ᾽ ἠδὲ χιτῶνα, τά τ᾽ αἰδῶ ἀμφικαλύπτει,
αὐτὸν δὲ κλαίοντα θοὰϲ ἐπὶ νῆαϲ ἀφήϲω
πεπληγὼϲ ἀγορῆθεν ἀFεικέϲϲι πληγῇϲιν.“
ὣϲ ἄρ᾽ ἔφη, ϲκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω
πλῆξεν· ὃ δ᾽ ἰδνώθη, θαλερὸν δέ Fοι ἔκπεϲε δάκρυ,
ϲμῶδιξ δ᾽ αἱματόεϲϲα μεταφρένου ἐξυπανέϲτη
ϲκήπτρου ὕπο χρυϲέου. ὃ δ᾽ ἄρ᾽ ἕζετο τάρβηϲέν τε,
ἀλγήϲαϲ δ᾽, ἀχρεῖον ὁρῶν, ἀπομόρξατο δάκρυ.
οἳ δὲ καὶ ἀχνύμενοί περ ἐπ᾽ αὐτῷ Fηδὺ γέλαϲϲαν.
ὧδε δέ τιϲ Fείπεϲκε Fιδὼν ἐϲ πληϲίον ἄλλον·
„ὢ πόποι, ἦ δὴ μυρί᾽ Ὀδυϲϲεὺϲ ἐϲθλὰ FέFοργεν
βουλάϲ τ᾽ ἐξάρχων ἀγαθὰϲ πόλεμόν τε κορύϲϲων·
νῦν δὲ τόδε μέγ᾽ ἄριϲτον ἐν Ἀργείοιϲιν ἔρεξεν,
ὃϲ τὸν λωβητῆρα Fεπεϲβόλον ἔϲχ᾽ ἀγοράων.
οὔ θήν μιν πάλιν αὖτιϲ ἀνήϲει θυμὸϲ ἀγήνωρ
νεικείειν βαϲιλῆαϲ ὀνειδείοιϲι Fέπεϲϲιν.“
ὣϲ φάϲαν ἡ πληθύϲ· ἀνὰ δὲ πτολίπορθοϲ Ὀδυϲϲεὺϲ
ἔϲτη ϲκῆπτρον ἔχων. παρὰ δὲ γλαυκῶπιϲ Ἀθήνη,
Fειδομένη κήρυκι, ϲιωπᾶν λαὸν ἀνώγει,
ὡϲ ἅμα Fοι πρῶτοί τε καὶ ὕϲτατοι υἷεϲ Ἀχαιῶν
μῦθον ἀκούϲειαν καὶ ἐπιφραϲϲαίατο βουλήν.
ὅ ϲφιν ἐυφρονέων ἀγορήϲατο καὶ μετέFειπεν·
„Ἀτρεΐδη, νῦν δή ϲε, Fάναξ, ἐθέλουϲιν Ἀχαιοί

257 = *β* 187. *ρ* 229. *σ* 82. *Α* 212   271 = *Δ* 81. *Χ* 372   283 = *Α* 73.

258 *εἴ κ᾽ ἔτι* ACD Zen.: *εἰ δέ τι* Ar. — *κιχήσομαι* codd. ut edit. Sinopensis et Philemonis: *κιχείομαι* Ptolemaeus — *ὡς τὸ πάρος περ* ed. Sinop. *ὕστερον αὖτις* ed. Massil. *ἐν Δαναοῖσιν* ed. Philemonis 262 *αἰδοῖ᾽* Payne Knight 264 *γρ. πεπλήγων* schol. B — *ἀεικέεσιν* coni. Nauck 266 *θαλερὸν*: *ἁλυκὸν* Suidas s. h. v. — *ἔκπεσε* codd.: *ἔκφυγε* Ar. 269 *ὁρῶν* Bentley: *ἰδὼν* codd. — *ἀπεμόρξατο* D 276 *ἀνήσῃ* Apoll. Soph. 7, 19 277 *ὀνειδείοις ἐπέεσσιν* codd. 278 *γρ. δὲ πτολ.* schol. A: *δ᾽ ὁ πτολ.* ACD Ar., *δὲ μεγάθυμος* poetam dixisse ita conicio, ut vulgatam clausulam versus ex recentioribus carminibus *Κ* 363. *θ* 3. *π* 442. *χ* 283 huc illatam esse sentiam 281 *ἅμα θ᾽ οἱ* codd. 284 *νῦν γὰρ* Ar.

πᾶcιν ἐλέγχιcτον θέμεναι μερόπεccι βροτοῖcιν,
οὐδέ τοι ἐκτελέουcιν ὑπόcχεcιν, ἥν περ ὑπέcταν
ἐνθάδ' ἔτι cτείχοντες ἀπ' Ἄργεοc ἱπποβότοιο,
Ἴλιον ἐκπέρcαντ' εὐτείχεον ἀπονέεcθαι.
ὥc τε γὰρ ἢ παῖδεc νεαροὶ χῆραί τε γυναῖκεc
ἀλλήλοιcιν ὀδύρονται Fοῖκόνδε νέεcθαι.
ἦ μὲν καὶ πόνοc ἐcτὶν ἀνιηθέντα νέεcθαι.
καὶ γάρ τίc θ' ἕνα μῆνα μένων ἀπὸ Fῆc ἀλόχοιο
ἀcχαλάᾳ cὺν νηὶ πολυζύγῳ, ὅν περ ἄελλαι
χειμέριαι Fειλέωcιν ὀρινομένη τε θάλαccα·
ἡμῖν δ' εἴνατόc ἐcτι περιτροπέων ἐνιαυτόc
ἐνθάδε μιμνόντεccι. τῷ οὐ νεμεcίζομ' Ἀχαιοὺc
ἀcχαλάαν παρὰ νηυcὶ κορωνίcιν· ἀλλὰ καὶ ἔμπηc
αἰcχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεcθαι.
τλῆτε, φίλοι, καὶ μείνατ' ἐπὶ χρόνον, ὄφρα δαῶμεν
ἦ ἐτεὸν Κάλχαc μαντεύεται ἦε καὶ οὐκί.
εὖ γὰρ δὴ τόδε Fίδμεν ἐνὶ φρεcίν, ἐcτὲ δὲ πάντεc
μάρτυροι, οὓc μὴ Κῆρεc ἔβαν θανάτοιο φέρουcαι.
χθιζά τε καὶ πρώιζ', ὅτ' ἐc Αὐλίδα νῆεc Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμῳ καὶ Τρωcὶ φέρουcαι,
ἡμεῖc δ' ἀμφὶ περὶ κρήνην ἱεροὺc κατὰ βωμοὺc
Fέρδομεν ἀθανάτοιcι τεληέccαc ἑκατόμβαc,
καλῇ ὑπὸ πλατανίcτῳ, ὅθεν ῥέFεν ἀγλαὸν ὕδωρ·
ἔνθ' ἐφάνη μέγα cῆμα. δράκων ἐπὶ νῶτα δαφοινόc,
cμερδαλέοc, τόν ῥ' αὐτὸc Ὀλύμπιοc ἧκε φόωcδε,
βωμοῦ ὑπαΐξαc πρόc ῥα πλατάνιcτον ὄρουcεν.
ἔνθα δ' ἔcαν cτρουθοῖο νεοccοί, νήπια τέκνα,
ὄζῳ ἐπ' ἀκροτάτῳ, πετάλοιc ὑποπεπτηῶτεc,
ὀκτώ· ἀτὰρ μήτηρ ἐνάτη ἔεν, ἣ τέκε τέκνα.

288 = 113   302^{b} = ξ 207   311^{b} = Λ 113.

286 *οὐδέ τι* C   288 *εὐτειχέα* coni. Nauck   291 *ἦ μὴν* codd., cf. prol. p. 127 — *ἀνέχεσθαι* coni. A. Spengel in Philol. XXIII 547   293 *ὃν*: *ἣν* C   294 *εἰλέωσιν* CD *ἰλέωσιν* A *ἔλσωσιν* coni. Nauck   295 *ἔννατος* Nauck hic et Θ 266   297 *ἀσχαλάαν μιμνόντεσσι* (*μίμνοντ' ἐπὶ νήεσσ'* corr. Bekker) Zen.   299 *ἐπὶ*: *ἔτι* Zen.   300 *ἢ* A Ar.: *εἰ* CD et γρ. A — *οὐκί* codd. et Ar.: γρ. *οὐχὶ* schol. A   302 *μάρτυρες* Zen., cf. Γ 280   303 *πρώιζα ὅτ' Αὐλίδι* susp. Nauck   307 *ὅθεν*: γρ. *ὅθι* Eust.   309 *φόωσδε* D quod nescio an recipiendum fuerit   311 *ἔνθ' ἔσαν* C   313 et 327 *ἔεν* Nauck: *ἦν* codd.

ἔνθ' ὅ γε τοὺc ἐλεεινὰ κατήcθιε τετρίγονταc·
μήτηρ δ' ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
τὴν δ' ἐλελιξάμενοc πτέρυγοc λάβεν ἀμφιαχυῖαν.
αὐτὰρ ἐπεὶ κατὰ τέκν' ἔφαγε cτρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀFίδηλον θῆκεν θεόc, ὅc περ ἔφηνεν·
[λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖc ἀγκυλομήτεω·]
ἡμεῖc δ' ἑcταότεc θαυμάζομεν οἷον ἐτύχθη.
ὡc οὖν δFεινὰ πέλωρα θεῶν εἰcῆλθ' ἑκατόμβαc,
Κάλχαc δ' αὐτίκ' ἔπειτα θεοπροπέων ἀγόρευεν·
‚πίπτ' ἄνεῳ ἐγένεcθε, καρηκομόωντεc Ἀχαιοί;
ἡμῖν μὲν τόδ' ἔφηνε τέραc μέγα μητίετα Ζεύc
ὄψιμον ὀψιτέλεcτον, ὅο κλέοc οὔ ποτ' ὀλεῖται.
ὡc οὗτοc κατὰ τέκν' ἔφαγε cτρουθοῖο καὶ αὐτήν,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἔεν, ἣ τέκε τέκνα,
ὣc ἡμεῖc τοccαῦτ' ἔτεα πτολεμίξομεν αὖθι,
τῷ δεκάτῳ δὲ πόλιν αἱρήcομεν εὐρυάγυιαν.'
κεῖνοc τὼc ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ἀλλ' ἄγε μίμνετε πάντεc, ἐυκνήμιδεc Ἀχαιοί,
αὐτοῦ, εἰc ὅ κε Fάcτυ μέγα Πριάμοιο ἕλωμεν."
ὣc ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον — ἀμφὶ δὲ νῆεc
cμερδαλέον κονάβηcαν ἀυcάντων ὑπ' Ἀχαιῶν —
μῦθον ἐπαινήcαντεc Ὀδυccῆοc θείοιο.
τοῖcι δὲ καὶ μετέFειπε Γερήνιοc ἱππότα Νέcτωρ·
„ὢ πόποι, ἦ δὴ παιcὶ FεFοικότεc ἀγοράαcθε
νηπιάχοιc, οἷc οὔ τι μέλει πολεμήια Fέργα.
πῇ δὴ cυνθεcίαι τε καὶ ὅρκια βήcεται ἡμῖν;

319 cf. Μ 450   320 = Ω 394   322^{b} = Α 109   327 = 313   330 = Ξ 48. σ 271   333—4 = Π 276—7. ρ 541—2.

314 *τετρίγοντας* scripsi prol. p. 129: *τετριγωτας* codd. *τιτίζοντας* Zen.   316 *δὲ Fελιξάμενος* Cobet misc. crit. 278 — *πτερύγος* Ar., cf. Lehrs de Arist.[2] p. 301 — *ἀμφιάχουσαν* Ambr. *ἀμFεFαχυῖαν* coni. Ahrens Rh. Mus. II 178   318 *ἀίζηλον* Ambr. et Et. M. p. 31, 53 (*ἀείζηλον* Apoll. Soph. 41, 43 *ἀίδηλον* Et. M. 41, 43) et Ar. (cf. Friedlaender ad Aristonicum h. l.) et Cic. de div. II 30, *ἀρίδηλον* Zen. *ἀρίζηλον* ACD, *ἀFίδηλον* scribere ausus sum ut *ΠολύFīδον* Ε 148 (cf. Hartel Hom. Stud. III 34)   319 *ἀθετεῖται* schol. A, cf. prol. p. 20 — *ἔθηκε* A: *θῆκε* CD   321 eiec. Bekker   323 *ἄνεῳ* A: *ἄνεω* CD   325 *ὅο* Buttmann Gramm. I 299: *ὅου* codd., cf. prol. p. 135   328 *τοσσαῦτα Fέτεα* Bekker, equidem *τοσάδε Fέτεα* malo — *πολεμίξομεν* C *πτολεμίζομεν* D   330 *τὼς* vel *τόσσ'* Ar.: *θ' ὡς* codd.   333 *δ' ἐπιFίαχον* Bentley.

ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ᾿ ἀνδρῶν
cπονδαί τ᾿ ἄκρητοι καὶ δεξιαί, ῇς ἐπέπιθμεν.
αὔτως γάρ ῥα Fέπεςς᾿ ἐριδαίνομεν, οὐδέ τι μῆχος
εὑρέμεναι δυνάμεςθα, πολὺν χρόνον ἐνθάθ᾿ ἐόντες.
Ἀτρεΐδη, cὺ δ᾿ ἔθ᾿ ὡς πρὶν ἔχων ἀςτεμφέα βουλήν
ἄρχευ᾿ Ἀργείοιςι κατὰ κρατερὰς ὑςμίνας,
τούςδε δ᾿ ἔα φθινύθειν, ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν
νόςφιν βουλεύως᾿, ἄνυςις δ᾿ οὐκ ἔςςεται αὐτῶν.
πρὶν Ἄργοςδ᾿ ἰέναι, πρὶν καὶ Διὸς αἰγιόχοιο
γνώμεναι εἴτε ψεῦδος ὑπόςχεςις εἴτε καὶ οὐκί.
φημὶ γὰρ οὖν κατανεῦςαι ὑπερμενέα Κρονίωνα
ἤματι τῷ, ὅτε νηυςὶν ἐν ὠκυπόροιςιν ἔβαινον
Ἀργεῖοι Τρώεςςι φόνον καὶ κῆρα φέροντες,
ἀςτράπτων ἐπιδέξι᾿, ἐναίςιμα ςήματα φαίνων.
τῷ μή τις πρὶν ἐπειγέςθω Fοῖκόνδε νέεςθαι,
πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι,
τίςαςθαι δ᾿ Ἑλένης ὁρμήματά τε ςτοναχάς τε.
εἰ δέ τις ἐκπάγλως ἐθέλει Fοῖκόνδε νέεςθαι,
ἁπτέςθω Fῆς νηὸς ἐυςςέλμοιο μελαίνης,
ὄφρα πρόςθ᾿ ἄλλων θάνατον καὶ πότμον ἐπίςπῃ.
ἀλλὰ Fάναξ αὐτός τ᾿ εὖ μήδεο πείθεό τ᾿ ἄλλῳ.
οὔ τοι ἀπόβλητον Fέπος ἔςςεται, ὅττί κε Fείπω.
κρῖν᾿ ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον,
ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις.
εἰ δέ κεν ὧς Fέρξῃς καί τοι πείθωνται Ἀχαιοί,
γνώςε᾿ ἔπειθ᾿ ὅς θ᾿ ἡγεμόνων κακὸς ὅς τέ νυ λαῶν,
ἠθ᾿ ὅς κ᾿ ἐςθλὸς ἔῃςι· κατὰ ςφὰς γὰρ μαχέονται·

341 = *Δ* 159 350ᵇ = *Θ* 470 351ᵃ = *B* 743. *Γ* 189. *Θ* 475. *I* 253. 439. *Ξ* 250. *O* 76. *Σ* 85. *T* 60. 89. 98. *Φ* 77. *X* 359. 471 353 cf. *I* 236—7 356 = 590.

340 *τε*: *κε* Madvig adv. crit. I 186 341 ante 340 collocavit Nauck 342 *ῥ᾿ ἐπέεσσι* codd. 347 *βουλεύωσ᾿* ACD et Ar.: *βουλεύσωσ᾿* Vrat. — *αὐτοῖς* Lips. — *ἄνυσις . . αὐτῶν* parenthesi alii includunt alii post *αὐτῶν* virgulam ponunt 349 *εἴ τε . . εἴτε* ACD: *ἦ τε . . ἦε* Bekker 351 *ἐν* AD: *ἐπ᾿* C 353 in suspicionem vocavit Heyne, fort. *ἀστράπτοντ᾿ . . . σήματ᾿ Ἀχαιοῖς* 354—9 ab alio poeta illatos esse probabat Bekker Hom. Bl. II 7 355 *τινι* coni. Doederlein em. hom. p. 10 *παρ᾿*: *περ* Ar. 356 suspectum hoc loco habuit Heyne — *ὁρμήματα*: *οἰμήματα* Apoll. Soph. 119, 27 362 *Ἀγαμέμνων* Vrat. nescio an vere 364 *πείθονται* CD 365 *γνώσῃ* codd. 366 *σφέας* codd.

γνώςεαι εἰ καὶ θεςπεςίῃ πόλιν οὐκ ἀλαπάξεις
ἦ ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ πολέμοιο.“
  τὸν δ᾿ ἀπαμειβόμενος προςέφη κρείων Ἀγαμέμνων·
„ἦ μὰν αὖτ᾿ ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπόλλων,
τοιοῦτοι δέκα μοι ςυμφράδμονες εἶεν Ἀχαιῶν·
τῷ κε τάχ᾿ ἠμύςειε πόλις Πριάμοιο Fάνακτος
χερςὶν ὑφ᾿ ἡμετέρῃςι Fαλοῦςά τε περθομένη τε.
ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε᾿ ἔδωκεν,
ὅς με μετ᾿ ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
[καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχηςάμεθ᾿ εἵνεκα κούρης
ἀντιβίοιςι Fέπεςςιν, ἐγὼ δ᾿ ἦρχον χαλεπαίνων.]
εἰ δέ ποτ᾿ ἔς γε μίαν βουλεύςομεν, οὐκέτ᾿ ἔπειτα
Τρωςὶν ἀνάβληςις κακοῦ ἔςςεται, οὐδ᾿ ἠβαιόν.
νῦν δ᾿ ἔρχεςθ᾿ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.
εὖ μέν τις δόρυ θηξάςθω, εὖ δ᾿ ἀςπίδα θέςθω,
εὖ δέ τις ἵπποιςιν δεῖπνον δότω ὠκυπόδεςςιν,
εὖ δέ τις ἅρματος ἀμφὶ Fιδὼν πολέμοιο μεδέςθω,
ὥς κε πανημέριοι ςτυγερῷ κρινώμεθ᾿ Ἄρηι.
οὐ γὰρ παυςωλή γε μετέςςεται, οὐδ᾿ ἠβαιόν,
εἰ μὴ νὺξ ἐλθοῦςα διακρινέει μένος ἀνδρῶν.
ἱδρώςει μέν τευ τελαμὼν ἀμφὶ ςτήθεςφιν
ἀςπίδος ἀμφιβρότης, περὶ δ᾿ ἔγχεϊ χεῖρα καμεῖται·
ἱδρώςει δέ τευ ἵππος ἐύξοον ἅρμα τιταίνων.
ὃν δέ κ᾿ ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήςω
μιμνάζειν παρὰ νηυςὶ κορωνίςιν, οὔ Fοι ἔπειτα
ἄρκιον ἐςςεῖται φυγέειν κύνας ἠδ᾿ οἰωνούς.“
  ὣς ἔφατ᾿, Ἀργεῖοι δὲ μέγ᾿ ἴαχον, ὡς ὅτε κῦμα
ἀκτῇ ἐφ᾿ ὑψηλῇ, ὅτε κινήςῃ Νότος ἐλθών,

371 = *Δ* 288. *H* 132. *Π* 97 373—4 = *Δ* 290—91 374 = *N* 816 381 = *T* 275 385 = *Σ* 209 391 = *Θ* 10 394 = 333.

367—8 alius esse poetae videntur atque 365—6 367 *γνώσεαι εἰ* Barnes: *γνώσεαι δ᾿ εἰ* codd. *γνώσῃ δ᾿ εἰ* Nauck — *εἰ*: *ἦ* Duentzer collato *Π* 243 — *ἀλαπάζεις* Bekker Hom. Bl. II 27 370 *ἦ μὴν* Bekker 371 *Ἄπολλον* codd., cf. prol. p. 123 375 *ἄλγε᾿ ἔθηκεν* Eust. 377—8 damnavit Koechly 377 *μαχησάμεθ᾿* Ar.: *μαχεσσάμεθ᾿* codd., cf. prol. p. 108 378 *ἀντιβίοις ἐπέεσσιν* codd. 380 *γρ. οὐ δὴ βαιόν* schol. A 384 *ἀμφὶς* codd. 388 *στήθεσφιν* AC: *στήθεσσιν* D 391 *δέ κ᾿*: *δ᾿ ἂν* Ambr., cf. *Θ* 10 — *ἐθέλοντα*: *πτώσσοντα* Arist. eth. Nic. III 11 394 cf. 333 395 *κινήσει* C.

προβλῆτι σκοπέλῳ· τὸν δ᾽ οὔ ποτε κύματα λείπει 3
παντοίων ἀνέμων, ὅτ᾽ ἂν ἔνθ᾽ ἢ ἔνθα γένωνται.
ἀνστάντες δ᾽ ὀρέοντο κεδασθέντες κατὰ νῆας,
κάπνισσάν τε κατὰ κλισίας, καὶ δεῖπνον ἕλοντο.
ἄλλος δ᾽ ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων,
εὐχόμενος θάνατόν τε φυγεῖν καὶ μῶλον Ἄρηος.
αὐτὰρ ὃ βοῦν ἱέρευσε Fάναξ ἀνδρῶν Ἀγαμέμνων
πίονα πενταFέτηρον ὑπερμενέι Κρονίωνι,
κίκλησκεν δὲ γέροντας ἀριστῆας Παναχαιῶν,
Νέστορα μὲν πρώτιστα καὶ Ἰδομενῆα Fάνακτα,
αὐτὰρ ἔπειτ᾽ Αἴαντε δύω καὶ Τυδέος υἱόν,
ἕκτον δ᾽ αὖτ᾽ Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον.
αὐτόματος δέ Fοι ἦλθε βοὴν ἀγαθὸς Μενέλαος·
Fείδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.
βοῦν δὲ περίστησάν τε καὶ οὐλοχύτας ἀνέλοντο.
τοῖσιν δ᾽ εὐχόμενος μετέφη κρείων Ἀγαμέμνων·
„Ζεῦ κύδιστε μέγιστε, κελαινεφές, αἰθέρι ναίων,
μὴ πρὶν ἐπ᾽ ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν,
πρίν με κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον
αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δεΐοιο θύρετρα,
Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι
χαλκῷ FρωγαλέοΝ· πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν."
ὣς ἔφατ᾽. οὐδ᾽ ἄρα πώ Fοι ἐπεκραίαινε Κρονίων,
ἀλλ᾽ ὅ γε δέκτο μὲν ἱρά, πόνον δ᾽ ἀμέγαρτον ὄφελλεν.
αὐτὰρ ἐπεί ῥ᾽ εὔξαντο καὶ οὐλοχύτας προβάλοντο,
αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
μηρούς τ᾽ ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν
δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν.
καὶ τὰ μὲν ἂρ σχίζῃσιν ἀφύλλοισιν κατέκαιον,

402—3 = *Η* 314—5 416 = *Π* 841 419 = *Γ* 302 421—24 = *Α* 458—61.

397 γρ. *γένηται* schol. A 398 *ἀστάντες* alios legisse arguit schol. A *ὀρόωντο* C 401 *γε φυγεῖν κατὰ μῶλον* Meineke in Herm. III 260 410 *περίστησαν τε* Bekker hic et *μ* 356 collato *Δ* 532: *περιστήσαντο* codd. 412 γρ. *Ζεῦ πάτερ Ἴδηθεν μεδέων* (= *Γ* 320) schol. A 415 *πλῆσαι* Ar. — *δηίοιο* codd., cf. prol. p. 112 419 *πώς* coni. Nauck 420 *ἀμέγαρτον*: *ἀλίαστον* Ar. 421 *οὐλοχύτας ἀνέλοντο* codd. in *Α* 449 423 *κνίσῃ* (*οὐδετέρως*) Ar.

σπλάγχνα δ᾽ ἄρ᾽ ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο. 3
αὐτὰρ ἐπεὶ κατὰ μῆρ᾽ ἐκάη καὶ σπλάγχνα πάσαντο,
μίστυλλόν τ᾽ ἄρα τἆλλα καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν,
ὤπτησάν τε περιφραδέως, Fερύσαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα,
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐFίσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς ἄρα μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
„Ἀτρεΐδη κύδιστε, Fάναξ ἀνδρῶν Ἀγάμεμνον,
μηκέτι νῦν δήθ᾽ αὖθι λεγώμεθα, μηδ᾽ ἔτι δηρόν
ἀμβαλλώμεθα Fέργον, ὃ δὴ θεὸς ἐγγυαλίζει·
ἀλλ᾽ ἄγε, κήρυκες μὲν Ἀχαιῶν χαλκοχιτώνων
λαὸν κηρύσσοντες ἀγειρόντων κατὰ νῆας,
ἡμεῖς δ᾽ ἀθρόοι ὧδε κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
ἴομεν, ὄφρα κε θᾶσσον ἐγείρομεν ὀξὺν Ἄρηα."
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε Fάναξ ἀνδρῶν Ἀγαμέμνων·
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσεν
κηρύσσειν πόλεμόνδε καρηκομόωντας Ἀχαιούς.
οἱ μὲν ἐκήρυσσον, τοὶ δ᾽ ἠγείροντο μάλ᾽ ὦκα.
οἱ δ᾽ ἀμφ᾽ Ἀτρεΐωνα διοτρεφέες βασιλῆες
θῦνον κρίνοντες, μετὰ δὲ γλαυκῶπις Ἀθήνη
αἰγίδ᾽ ἔχους᾽ ἐρίτιμον, ἀγήραον ἀθανάτην τε,
τῆς ἑκατὸν θύσανοι παγχρύσεοι ἠερέθονται,
πάντες ἐυπλεκέες, ἑκατόμβοιος δὲ Fέκαστος.
σὺν τῇ παιφάσσουσα διέσσυτο λαὸν Ἀχαιῶν
ὀτρύνους᾽ ἰέναι· ἐν δὲ σθένος ὦρσε Fεκάστῳ
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
τοῖσι δ᾽ ἄφαρ πόλεμος γλυκίων γένετ᾽ ἠὲ νέεσθαι
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.
ἠύτε πῦρ ἀFίδηλον ἐπιφλέγει ἄσπετον ὕλην
οὔρεος ἐν κορυφῇσι, Fεκὰς δέ τε φαίνεται αὐγή,

427—32 = *Α* 464—9 434 = *Ι* 96. *Τ* 146 442—4 = 50—2 442 = *Ψ* 39 452 = *Λ* 12 *Ξ* 152 453—4 = *Λ* 13—14.

425 *σπλάγχνα πάσαντο* Ar.: *σπλάγχν᾽ ἐπάσαντο* codd. 435 *δήθ᾽ αὖθι* AD Ar.: *δήτ᾽ αὖθι* C, *νῦν ⟨δὴ⟩ ταῦτα* Zen., *δὴ νῦν αὖθι* Callistratus 436 *ἐγγυαλίζει* A Ar.: *ἐγγυαλίξει* C *ἐγγυαλύξει* D 447 *ἀγήραον* ACD: *ἀγήρων* Ar. 448 *ἠερέθοντο* Zen. 455—8 eiec. Bekker. 456 *κορυφῇσι ἑκὰς* Nauck: *κορυφῆς ἑκάθεν* codd.

ὣς τῶν ἐρχομένων ἀπὸ χαλκοῦ θεσπεσίοιο 3
αἴγλη παμφανόωσα δι' αἰθέρος οὐρανὸν ἷκεν.
τῶν δ', ὥς τ' ὀρνίθων πετεηνῶν Ϝέθνεα πολλά,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
Ἀσίῳ ἐν λειμῶνι Καϋστρίου ἀμφὶ ῥέϜεθρα
ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμενα πτερύγεσσιν,
κλαγγηδὸν προκαθιζόντων, σμαραγεῖ δέ τε λειμών,
ὣς τῶν Ϝέθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων
ἐς πεδίον προχέϜοντο Σκαμάνδριον· αὐτὰρ ὑπὸ χθὼν
σμερδαλέον κονάβιζε ποδῶν αὐτῶν τε καὶ ἵππων.
ἔσταν δ' ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι
μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ.
ἠύτε μυιάων ἁδινάων Ϝέθνεα πολλά,
αἵ τε κατὰ σταθμὸν ποιμνήιον ἠλάσκουσιν
ὥρῃ Ϝειαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει,
τόσσοι ἐπὶ Τρώεσσι καρηκομόωντες Ἀχαιοί
ἐν πεδίῳ ἵσταντο, διαρραῖσαι μεμαῶτες.
τοὺς δ', ὥς τ' αἰπόλια πλατέ' αἰγῶν αἰπόλοι ἄνδρες
ῥεῖα διακρίνωσιν, ἐπεί κε νομῷ μιγέωσιν,
ὣς τοὺς ἡγεμόνες διεκόσμεον ἔνθα καὶ ἔνθα
ὑσμίνηνδ' ἰέναι, μετὰ δὲ κρείων Ἀγαμέμνων,
ὄμματα καὶ κεφαλὴν Ϝίκελος Διὶ τερπικεραύνῳ,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.
ἠύτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων
ταῦρος· ὃ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσιν·
τοῖον ἄρ' Ἀτρεΐδην θῆκε Ζεὺς ἤματι κείνῳ,
ἐκπρεπέ' ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσιν. 483
οἳ δ' ἄρ' ἴσαν ὡς εἴ τε πυρὶ χθὼν πᾶσα νέμοιτο·
γαῖα δ' ὑπεστενάχιζε Διὶ ὣς τερπικεραύνῳ
χωομένῳ, ὅτε τ' ἀμφὶ Τυφωέι γαῖαν ἱμάσσῃ

460 = *Ο* 692 464—69 = 427—32 468 = *ι* 51 471 = *Π* 643
474 = *Λ* 679.

461 *Ἀσίῳ* C et Verg. georg. I 183: *Ἀσίω* AD Ar. 462 *ἀγαλλόμενα* A Ar.: *ἀγαλλόμεναι* CD 463 *λειμών*: *γαῖα* Ar. 465 et 467 *Καμάνδριον* codd. interpolati 468 *γίνεται* ACD quod in *γίγνεται* contra veterem *παράδοσιν* corrigere nolui 469—73 alius esse fabricae intellexit Bekker, cf. prol. p. 25 471 *ὥρῃ ἐν* codd., *ἐν* deleri iussit Bentley collatis *ε* 485 et Hes. opp. 494. 534 478—9 damnat O. Franke 481 *ἀγρομένοισι* C 494—877 om. D 782 *ἱμάσσει* C.

εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς. 3
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ μέγα στεναχίζετο γαῖα
ἐρχομένων· μάλα δ' ὦκα διέπρησσον πεδίοιο.
Τρωσὶν δ' ἄγγελος ἦλθε ποδήνεμος ὠκέα Ἶρις
πὰρ Διὸς αἰγιόχοιο σὺν ἀγγελίῃ ἀλεγεινῇ·
οἳ δ' ἀγορὰς ἀγόρευον ἐπὶ Πριάμοιο θύρῃσιν
πάντες ὁμηγερέες, ἠμὲν νέοι ἠδὲ γέροντες.
ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
Ϝείσατο δὲ φθογγὴν υἷι Πριάμοιο Πολίτῃ,
ὃς Τρώων σκοπὸς ἷζε, ποδωκείῃσι πεποιθώς,
τύμβῳ ἐπ' ἀκροτάτῳ Αἰσυήταο γέροντος,
δέχμενος ὁππότε ναῦφιν ἀφορμηθεῖεν Ἀχαιοί.
τῷ μιν Ϝεισαμένη προσέφη πόδας ὠκέα Ἶρις·
„ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
ὥς ποτ' ἐπ' εἰρήνης· πόλεμος δ' ἀλίαστος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
ἀλλ' οὔ πω τοιόνδε τοσόνδε τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοισι ϜεϜοικότες ἢ ψαμάθοισιν
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ Ϝάστυ.
Ἕκτορ, σοὶ δὲ μάλιστ' ἐπιτέλλομαι ὧδέ γε ῥέξαι.
πολλοὶ γὰρ κατὰ Ϝάστυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
τοῖσι Ϝέκαστος ἀνὴρ σημαινέτω, οἷσί περ ἄρχει,
τῶν δ' ἐξηγείσθω, κοσμησάμενος πολιήτας.“
ὣς ἔφαθ', Ἕκτωρ δ' οὔ τι θεᾶς Ϝέπος ἠγνοίησεν,
αἶψα δ' ἔλυσ' ἀγορήν· ἐπὶ τεύχεα δ' ἐσσεύοντο.
πᾶσαι δ' ὠίγνυντο πύλαι, ἐκ δ' ἔσσυτο λαός,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ἔστι δέ τις πόλιος προπάροιθ' αἰπεῖα κολώνη,

785 = *Γ* 14. *Ψ* 364. 786[b] = *Ε* 368 789 = *Η* 415 et *Ι* 36
790 = *Γ* 129. *Λ* 199. *Ω* 87 804[a] = *τ* 175 809—10 = *Θ* 58—9
811 cf. *Φ* 567.

post 783 fuisse qui adderent *χώρῳ ἐνὶ δρυόεντι Ὕδης ἐν πίονι δήμῳ* refert Strabo XIII p. 626. 784 *στοναχ.* C 785 *διέπρησον* C 786 *Ϝῖρις* Bekker, cf. prol. p. 162 791—5 *ἀθετοῦνται* schol. A 791 *υἱέϊ* A 792 fort. *ποδωκείῃφι*, cf. prol. § 83 794 *δέχμενος* Cobet misc. crit. 360: *δέγμενος* codd. 795 *ἐεισαμένη* codd. — *γρ. μετέφη* A 798 *ἤδη μὲν* Ar. 801 *προτὶ* Zen. Aristoph. Ar.: *περὶ* codd. 802 *ὧδέ γε*: *ὧδε δὲ* AC 811 *πόλιος προπάροιθεν* (corr. *προπάροιθ'*) Apoll. Soph. 102, 3: *προπάροιθε πόλιος* codd., *πόλεος* coni. Nauck, cf. *Φ* 567 et prol. § 103.

ἐν πεδίῳ ἀπάνευθε, περίδρομος ἔνθα καὶ ἔνθα, 3
τὴν ἤ τοι ἄνδρες Βατίειαν κικλήσκουσιν,
ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης·
ἔνθα τότε Τρῶές τε διέκριθεν ἠδ᾽ ἐπίκουροι.

ΚΑΤΑΛΟΓΟΙ.

Ἔσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ᾽ ἔχουσαι — Β 484
ὑμεῖς γὰρ θεαί ἐστε πάρεστέ τε Ϝίστε δὲ πάντα,
ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν οὐδέ τι Ϝίδμεν —
οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν.
πληθὺν δ᾽ οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ᾽ ὀνομήνω,
οὐδ᾽ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ᾽ εἶεν,
φωνὴ δ᾽ ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη.
[εἰ μὴ Ὀλυμπιάδες Μοῦσαι, Διὸς αἰγιόχοιο
θυγατέρες, μνησαίαθ᾽ ὅσοι ὑπὸ Ἴλιον ἦλθον.
ἀρχοὺς αὖ νηῶν Ϝερέω νῆάς τε προπάσας.]
Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήιτος ἦρχον
Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε,
οἵ θ᾽ Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσαν
Σχοῖνόν τε Σκῶλόν τε πολύκνημόν τ᾽ Ἐτεωνόν,
Θέσπειαν Γραῖάν τε καὶ εὐρύχορον Μυκαλησσόν,
οἵ τ᾽ ἀμφ᾽ Ἅρμ᾽ ἐνέμοντο καὶ Εἰλέσιον καὶ Ἐρύθρας,
οἵ τ᾽ Ἐλεῶν᾽ εἶχον ἠδ᾽ Ὕλην καὶ Πετεῶνα,
Ὠκαλέην Μεδεῶνά τ᾽, ἐυκτίμενον πτολίεθρον,

484 = *Λ* 218. *Ξ* 508. *Π* 112 488 = *δ* 240. *λ* 328. 517 491 cf. *B* 598 et Hes. theog. 25. 52. 966. 1022.

Catalogum navium non integrum, sed recentibus additamentis auctum Iliadis carminibus insertum videri exposuimus prol. § 21; veterem formam restituentibus facem praetulit Koechlius in dissertatione de genuina catalogi Homerici forma, cum catalogum ipsum ex strophis quinum versuum compositum esse doceret, quod ita nobis persuasit, ut strophis istis aliquoties epilogos binum versuum (509—10. 601—2. 636—7) subiectos, quin etiam strophas trinum (650—2. 753—5), fortasse etiam quaternum versuum (569—580. 603—614. 756—9) similiter atque in Hesiodea theogonia intermixtas esse statuerimus. Denique catalogum, qui a Pisistrato medius inter versus veteris carminis interiectus est, cur peculiaris carminis vice fungi maluerim, disserui prol. § 9 484—493 totum prooemium dubito an recens praefixum sit 484 *Ὀλυμπιάδες* **βαθύκολποι** Zen. 485 *γρ.* *παρῆστε* schol. A 487 om. C **491—2 damnavit Heyne, 491—3 eiecit Bekker** 494—877 om. D et cod. Townl. 496 *γρ.* **οἳ Θυρίην** schol. A 498 **Θέσπῖαν** A 500 *ἠδ᾽*: *ἰδ᾽* C

Κῶπας Εὔτρησίν τε πολυτρήρωνά τε Θίσβην, 4
οἵ τε Κορώνειαν καὶ ποιήενθ᾽ Ἁλίαρτον,
οἵ τε Πλάταιαν ἔχον ἠδ᾽ οἳ Γλίσαντ᾽ ἐνέμοντο,
οἵ θ᾽ Ὑποθήβας εἶχον, ἐυκτίμενον πτολίεθρον,
Ὄγχηστόν θ᾽ ἱερόν, Ποσιδήιον ἀγλαὸν ἄλσος,
οἵ τε πολυστάφυλον Ἄρνην ἔχον, οἵ τε Μίδειαν
Νισάν τε ζαθέην Ἀνθηδόνα τ᾽ ἐσχατόωσαν.
τῶν μὲν πεντήκοντα νέες κίον, ἐν δὲ Ϝεκάστῃ
κοῦροι Βοιωτῶν ἑκατὸν καὶ Ϝείκοσι βαῖνον,
οἳ δ᾽ Ἀσπληδόνα ναῖον ἰδ᾽ Ὀρχομενὸν Μινύειον,
τῶν ἦρχ᾽ Ἀσκάλαφος καὶ Ἰάλμενος, υἷες Ἄρηος,
οὓς τέκε Ϝαστυόχη δόμῳ Ἄκτορος Ἀζεΐδαο,
[παρθένος αἰδοίη, ὑπερώιον εἰσαναβᾶσα,]
Ἄρηι κρατερῷ· ὃ δέ Ϝοι παρελέξατο λάθρῃ.
τῶν δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
αὐτὰρ Φωκήων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον,
υἱέες Ἰφίτοο μεγαθύμου Ναυβολίδαο,
οἳ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν
Κρισάν τε ζαθέην καὶ Δαυλίδα καὶ Πανοπῆα,
οἵ τ᾽ Ἀνεμώρειαν καὶ Ὑάμπολιν ἀμφενέμοντο,
οἵ τ᾽ ἄρα πὰρ ποταμὸν Κηφισὸν δῖον ἔναιον,
οἵ τε Λίλαιαν ἔχον πηγῆς ἔπι Κηφισοῖο·
τοῖς δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
οἳ μὲν Φωκήων στίχας ἵστασαν ἀμφιέποντες,
Βοιωτῶν δ᾽ ἔμπλην ἐπ᾽ ἀριστερὰ θωρήσσοντο.
Λοκρῶν δ᾽ ἡγεμόνευεν Ὀιλῆος ταχὺς Αἴας,
[μείων, οὔ τι τόσος γε ὅσος Τελαμώνιος Αἴας,
ἀλλὰ πολὺ μείων· ὀλίγος μὲν ἔην, λινοθώρηξ,
ἐγχείῃ δ᾽ ἐκέκαστο Πανέλληνας καὶ Ἀχαιούς,]
οἳ Κῦνόν τ᾽ ἐνέμοντ᾽ Ὀπόεντά τε Καλλίαρόν τε
Βῆσσάν τε Σκάρφην τε καὶ Αὐγειὰς ἐρατεινὰς

506 hymn. Apoll. Pyth. 52 506^b = *ζ* 266 514^b = *ρ* 101. *Π* 184 516 = 602. 680. 733 527^b = *N* 66 528^b = *Δ* 473 529^b cf. *B* 830. 530^a = *Π* 808

502 ***Θίσβην***: ***Μέσσην*** Zen. 504 ***Γλισᾶντα*** AC, cf. schol. B et Eust. 505 et 507 seclusit Koechly opusc. p. 24 — ***ὑπὸ Θήβας*** C 507 ***Ἄρνην***: ***Ἄσκρην*** Zen., *γρ.* ***Τάρνην*** (an ***Ϝάρνην***?) Strabo IX p. 413, cf. Lehrs Arist.[2] p. 228 508 ***Νῖσαν*** codd.: ***Ἶσον*** vel ***Κρεῦσαν*** vel ***Φαρὰς*** alios scripsisse testantur Strabo IX p. 405 et Eust. 511 ***Ἀσπληδόν᾽ ἔναιον*** C 514 secl. Koechly 516 *τῶν* A in textu: *τοὺς* A sup. lin. et C et Ar., cf. prol. § 85 517 *γρ.* ***Φωκείων*** Ar. 518 ***Ἰφίτου*** codd., cf. prol. § 80 520 ***Κρίσσαν*** dett. codd. — ***καὶ Πανοπτέων*** Zen. 521 *γρ.* ***Ἀνεμώλειαν*** Strabo IX p 424 524. 710. 737. 747. 759 ***τεσσεράκοντα*** A 525—6 damnat Bergk Gr. Lit. p. 558 — 525 ***ἕστασαν*** C 527 *γρ.* ***ὁ Ἰλῆος*** schol. A 528 damnat Zen. 529—30 ***ἀθετοῦνται*** schol. A, cf. *N* 681 722 532 ***Σβῆσσαν*** C ***Βῆσσαν*** Zen.

Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα· 4
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
[Λοκρῶν, οἳ ναίουσι πέρην ἱερῆς Εὐβοίης.]
οἳ δ' Εὔβοιαν ἔχον μένεα πνείοντες Ἄβαντες,
Χαλκίδα τ' Εἰρέτριάν τε πολυστάφυλόν θ' Ἱστίαιαν
Κήρινθόν τ' ἔφαλον Δίου τ' αἰπὺ πτολίεθρον,
οἵ τε Κάρυστον ἔχον ἠδ' οἳ Στύρα ναιετάασκον,
τῶν αὖθ' ἡγεμόνευ' Ἐλεφήνωρ ὄζος Ἄρηος,
Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων·
τῷ δ' ἅμ' Ἄβαντες ἕποντο θοοί, ὄπιθεν κομόωντες,
αἰχμηταί, μεμαῶτες ὀρεκτῇσιν μελίῃσιν
θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσσιν.
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
οἳ δ' ἄρ' Ἀθήνας εἶχον, ἐυκτίμενον πτολίεθρον,
δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη
θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα·
[κὰδ δ' ἐν Ἀθήνῃς εἷσεν, ἑῷ ἐν πίονι νηῷ·
ἔνθα δέ μιν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται
κοῦροι Ἀθηναίων περιτελλομένων ἐνιαυτῶν·]
τῶν αὖθ' ἡγεμόνευ' υἱὸς Πετεῶο Μενεσθεύς·
[τῷ δ' οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνήρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας·
Νέστωρ οἶος ἔριζεν· ὁ γὰρ προγενέστερος ἦεν.]
τῷ δ' ἅμα πεντήκοντα μέλαιναι νῆες ἕποντο.
Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας.
[στῆσε δ' ἄγων, ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.]
οἳ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν,
Ἑρμιόνην Ἀσίνην τε βαθὺν κατὰ κόλπον ἐχούσας,
Τροιζῆν' Ἠιόνας τε καὶ ἀμπελόεντ' Ἐπίδαυρον,

536^b = Γ 8 540^b = Β 663. 703   541 = Δ 464   552 cf. Δ 327
554 = Π 167.

535 damnat Koechly op. 34   537 τ' Ἰστίαιαν A   544 στήθεσσιν AC: στήθεσφι anecd. Bekk. 836, 9   549—51 secl. Koechly   549 ἐνὶ πίονι Bekker, cf. Hom. Bl. I 145   552 τῶν δ' αὖθ' C   553—55 damnavit Zen., Pisistratum intercalasse narrat Diogenes Laert. I 57, eosdem agnovit Herodotus VII 161; repugnant isti versus legi strophicae, nisi totius huius capituli unum versum 551 expellere malis   558 om. A, habet C, damnavit Ar, ἄγεν νέας ἔκ τε Πολίχνης | ἔκ τ' Αἰγειρούσης Νισαίας τε Τρίποδός τε Megarenses legisse narrant Strabo IX p. 394, Diogenes Laert. I 57, Eustathius; equidem ut versum 558 a catalogo navium abhorrere iudico, ita antecedentem quoque versum ex pleniore commemoratione Salaminiorum et Aiacis Telamonii abbreviatum esse sentio hac in re consentiens cum Jordano Jahrb. f. Phil. CXXI 369
560 Ἑρμιόνην τ' Ἀσίην auctor cert. Hom. 282.

οἵ τ' ἔχον Αἴγιναν Μάσητά τε κοῦροι Ἀχαιῶν, 4
τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης
καὶ Σθένελος, Καπανῆος ἀγακλειτοῦ φίλος υἱός·
τοῖσι δ' ἅμ' Εὐρύαλος τρίτατος κίε, Ϝισόθεος φῶς,
Μηκιστῆος υἱὸς Ταλαϊονίδαο Ϝάνακτος·
συμπάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης.
τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
οἳ δὲ Μυκήνας εἶχον, ἐυκτίμενον πτολίεθρον,
ἀφνειόν τε Κόρινθον ἐυκτιμένας τε Κλεωνάς,
Ὀρνειάς τ' ἐνέμοντο Ἀραιθυρέην τ' ἐρατεινήν,
καὶ Σικυῶν', ὅθ' ἄρ' Ἄδρηστος πρῶτ' ἐμβασίλευεν,
οἵ θ' Ὑπερησίην τε καὶ αἰπεινὴν Γονόεσσαν
Πελλήνην τ' εἶχον, ἠδ' Αἴγιον ἀμφενέμοντο
Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν,
τῶν ἑκατὸν νηῶν ἦρχε κρείων Ἀγαμέμνων
Ἀτρεΐδης. ἅμα τῷ γε πολὺ πλεῖστοι καὶ ἄριστοι
λαοὶ ἕποντ'· ἐν δ' αὐτὸς ἐδύσετο νώροπα χαλκόν
κυδιόων, πᾶσιν δὲ μετέπρεπεν ἡρώεσσιν,
οὕνεκ' ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς.
οἳ δ' εἶχον κοΐλην Λακεδαίμονα καιετάεσσαν,
Φᾶρίν τε Σπάρτην τε πολυτρήρωνά τε Μέσσην,
Βρυσειάς τ' ἐνέμοντο καὶ Αὐγειὰς ἐρατεινάς,
οἵ τ' ἄρ' Ἀμύκλας εἶχον Ἕλος τ', ἔφαλον πτολίεθρον,
οἵ τε Λάαν εἶχον ἠδ' Οἴτυλον ἀμφενέμοντο,
τῶν Ϝοι ἀδελφεὸς ἦρχε, βοὴν ἀγαθὸς Μενέλαος,
ἑξήκοντα νεῶν· ἀπάτερθε δὲ θωρήσσοντο.
ἐν δ' αὐτὸς κίε Ϝῇσι προθυμίῃσι πεποιθώς,
ὀτρύνων πόλεμόνδε· μάλιστα δὲ Ϝίετο θυμῷ

565^b = Λ 428. Ψ 677   566 = Ψ 678   578 = Λ 16   581 = δ 1
584 = h. Ap. Pyth. 232   588 cf. Β 491.

562 γρ. νῆσόν τ' Αἴγιναν Strabo VIII p. 375   563 τῶν δ' C — post 563 auctor cert. Hom. addit: Τυδείδης οὗ πατρὸς ἔχων μένος Οἰνείδαο   565 Εὐρύπυλος cert. Hom. 288   566 Μηκιστέος A Μηκιστέως C — post 568 addit cert. Hom. ἐν δ' ἄνδρες πολέμοιο δαήμονες ἐστιχόωντο | Ἀργεῖοι λινοθώρηκες κέντρα πτολέμοιο   571 Παραιθυρέην Zen.   570 et 572 damnat Koechly   572 Argivo rhapsodo deberi putat O. Mueller Gr. Lit. I 94   573 Γονόεσσαν: Δονόεσσαν veterem lectionem ante Pisistratum fuisse narrat Pausanias VII 26, 13   577—80 damnat Bergk Gr. Lit. 558   578 ἐδύσατο C   579—80 damnat Zen.
579 πᾶσιν δὲ Zen. et edit. alt. Ar.: ὅτι πᾶσι AC   581 γρ. καιετάεσσαν schol. A, quod Zenodotum probasse docemur scholio Od. δ 1: κητώεσσαν codd.   582 γρ. Φάρην Eust. — Μέσσην: Θίσβην Max. Tyr. XVI 7, cf. Β 502   585 οἳ Τύλον Tyrannio, οἳ Λᾶάν τ' coni. Menrad iuvenis amicus
587 fort. ἀπάτερθεν δ' ἐστιχόοντο   588 ἧφι προθυμίῃφι coni. Nauck.

τίσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε. 4
οἳ δὲ Πύλον τ' ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινήν
καὶ Θρύον Ἀλφειοῖο πόρον, καὶ ἐΰκτιτον Αἰπύ,
καὶ Κυπαρισσήεντα καὶ Ἀμφιγένειαν ἔναιον
καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον, ἔνθα τε Μοῦσαι
ἀντόμεναι Θάμυριν τὸν Θρήικα παῦσαν ἀοιδῆς,
Οἰχαλίηθεν ἰόντα παρ' Εὐρύτου Οἰχαλιῆος·
στεῦτο γὰρ εὐχόμενος νικησέμεν, εἴ περ ἂν αὐταί
Μοῦσαι ἀείδοιεν, κοῦραι Διὸς αἰγιόχοιο·
αἳ δὲ χολωσάμεναι πηρὸν θέσαν, αὐτὰρ ἀοιδήν
θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν·
τῶν αὖθ' ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ,
τῷ δ' ἐνενήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
οἳ δ' ἔχον Ἀρκαδίην ὑπὸ Κυλλήνης ὄρος αἰπύ,
Αἰπύτιον παρὰ τύμβον, ἵν' ἀνέρες ἀγχιμαχηταί,
οἳ Φένεόν τ' ἐνέμοντο καὶ Ὀρχομενὸν πολύμηλον
Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεσσαν Ἐνίσπην,
καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν,
Στύμφηλόν τ' εἶχον καὶ Παρρασίην ἐνέμοντο,
τῶν ἦρχ' Ἀγκαίοιο πάις κρείων Ἀγαπήνωρ
ἑξήκοντα νεῶν· πολέες δ' ἐν νηὶ Ϝεκάστῃ
Ἀρκάδες ἄνδρες ἔβαινον, ἐπιστάμενοι πολεμίζειν.
αὐτὸς γάρ σφιν ἔδωκε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
νῆας ἐυσσέλμους περάαν ἐπὶ Ϝοίνοπα πόντον,
Ἀτρεΐδης, ἐπεὶ οὔ σφι θαλάσσια Ϝέργα μεμήλει.
οἳ δ' ἄρα Βουπράσιόν τε καὶ Ἤλιδα δῖαν ἔναιον,
ὅσσον ἐφ' Ὑρμίνη καὶ Μύρσινος ἐσχατόωσα
πέτρη τ' Ὠλενίη καὶ Ἀλείσιον ἐντὸς ἐϜέργει,
τῶν αὖ τέσσαρες ἀρχοὶ ἔσαν, δέκα δ' ἀνδρὶ Ϝεκάστῳ
νῆες ἕποντο θοαί, πολέες δ' ἔμβαινον Ἐπειοί.
τῶν μὲν ἄρ' Ἀμφίμαχος καὶ Θάλπιος ἡγησάσθην,
υἷες ὃ μὲν Κτεάτου, ὃ δ' ἄρ' Εὐρύτου, Ἀκτορίωνε·

590 = *B* 356 592 = h. Ap. Pyth. 245, cf. *Λ* 711. 597 cf. *Θ* 526 598ᵇ = Z 420 601ᵇ = *Δ* 317 602 = *B* 516, cf. *γ* 7 et Gemoll, Herm. XVIII 44 613ᵇ = *Λ* 350 614ᵇ = *ε* 67 617 cf. *Λ* 757.

590 Messeniorum indiculus ab interpolatore catalogi eiectus esse videtur; eius reliquiae nescio an lateant in versibus *I* 149—153 592 *Εὔκτιτον αἰπύ* Pherecydes 596—600 utrum auctori catalogi an eius interpolatori debeantur dubitare possis 597 *στεῦτο γὰρ ἐρχόμενος* C 601 *τῶν δ'* C 607 et 614 damnat Koechly 609 Stentoris praeter Agapenorem versibus subditiciis hoc loco mentionem factam esse arguit schol. *E* 785 612—14 damnat Zen. 612 *ἔδωκε* Nauck: *δῶκε* codd., cf. prol. § 66 616 *Ὑρμίνη* Zen. 617 *Ἀλείσιον* codd.: *γρ. Ἀλήσιον* Eust. *Ἀλίσιον* Hesychius, cf. *Λ* 757 621 *ἄρ'* om. C, unde *Κτεάτοιο ὃ δ'* coni. Nauck — *Ἀκτορίωνε* A: *Ἀκτορίωνος* C.

τῶν δ' Ἀμαρυγκεΐδης ἦρχε κρατερὸς Διώρης· 4
τῶν δὲ τετάρτων ἦρχε Πολύξεινος θεοϜειδής,
υἱὸς Ἀγασθένεος Αὐγηιάδαο Ϝάνακτος.
οἳ δ' ἐκ Δουλιχίοιο Ἐχινάων θ' ἱεράων
νήσων, αἳ ναίουσι πέρην ἁλός, Ἤλιδος ἄντα,
τῶν αὖθ' ἡγεμόνευε Μέγης ἀτάλαντος Ἄρηι,
Φυλεΐδης, ὃν τίκτε διίφιλος ἱππότα Φυλεύς,
[ὅς ποτε Δουλίχιόνδ' ἀπενάσσατο πατρὶ χολωθείς.]
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
αὐτὰρ Ὀδυσσεὺς ἦγε Κεφαλλῆνας μεγαθύμους,
οἵ ῥ' Ἰθάκην εἶχον καὶ Νήριτον εἰνοσίφυλλον,
καὶ Κροκύλει' ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν,
οἵ τε Ζάκυνθον ἔχον ἠδ' οἳ Σάμον ἀμφενέμοντο,
οἵ τ' ἤπειρον ἔχον ἠδ' ἀντιπέραι' ἐνέμοντο.
τῶν μὲν Ὀδυσσεὺς ἦρχε Διὶ μῆτιν ἀτάλαντος,
τῷ δ' ἅμα νῆες ἕποντο δυώδεκα μιλτοπάρῃοι.
Αἰτωλῶν δ' ἡγεῖτο Θόας Ἀνδραίμονος υἱός,
οἳ Πλευρῶν' ἐνέμοντο καὶ Ὤλενον ἠδὲ Πυλήνην
Χαλκίδα τ' ἀγχίαλον Καλυδῶνά τε πετρήεσσαν.
[οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν,
οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος,]
τῷ δ' ἐπὶ πάντ' ἐτέταλτο Ϝανασσέμεν Αἰτωλοῖσιν.
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Κρητῶν δ' Ἰδομενεὺς δουρικλυτὸς ἡγεμόνευεν,
οἳ Κνωσόν τ' εἶχον Γόρτυνά τε τειχιόεσσαν,
Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαστον
Φαιστόν τε Ῥύτιόν τε, πόλις εὖ ναιεταώσας,
ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο.
τῶν μὲν ἄρ' Ἰδομενεὺς δουρικλυτὸς ἡγεμόνευεν
Μηριόνης τ' ἀτάλαντος Ἐνυαλίῳ ἀνδρεϊφόντῃ·
τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
Τληπόλεμος δ' Ἡρακλεΐδης ἠΰς τε μέγας τε
ἐκ Ῥόδου ἐννέα νῆας ἄγεν Ῥοδίων ἀγερώχων,
οἳ Ῥόδον ἀμφενέμοντο διὰ τρίχα κοσμηθέντες,

627ᵇ = *K* 110 629 = *ο* 254 637 cf. *ι* 159 649 cf. *I* 383 651 = *H* 166. *Θ* 264. *P* 259. 653 = *E* 628 et *Γ* 167.

626 *αἵ*: *οἵ* Zen. 627 *τῶν δ'* C 628 *ἔτικτε* coni. Nauck 629 secl. Koechly 631 obelo notatus in A — *Κεφαλῆνας* C m. pr. 634 et 636 secl. Koechly. 634 *Σάμην* Zen. 635 *ἀντιπέραια νέμοντο* Bekker, at auctorem catalogi versus in tetrasyllaba vocabula exeuntes adamasse bene observavit W. C. Kayser in Phil. XVIII 688 641—2 damnat Zen. post 642 cod. Mosc. addit: *καὶ Τυδεὺς [ἐν] Θήβαις ὅτ' ἀπώλετο λαὸς Ἀχαιῶν* (= Z 223) 646 *Κνωσσόν* C 648 *πόλις* A: *πόλεις* C, cf. prol. § 86 649—51 seclusit et 652 *τῷ δ' ἄρ' ἅμ'* scripsit Koechly.

Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον. 4
τῶν μὲν Τληπόλεμος δουρικλυτὸς ἡγεμόνευεν.
ὃν τέκε ϝαστυόχεια βίῃ Ἡρακληείῃ,
τὴν ἄγετ' ἐξ Ἐφύρης, ποταμοῦ ἄπο Σελλήεντος,
πέρσας ϝάστεα πολλὰ διοτρεφέων αἰζηῶν.
Τληπόλεμος δ' ἐπεὶ οὖν τράφ' ἐνὶ μεγάρῳ ἐυπήκτῳ,
αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα,
ἤδη γηράσκοντα Λικύμνιον, ὄζον Ἄρηος.
αἶψα δὲ νῆας ἔπηξε, πολὺν δ' ὅ γε λαὸν ἀγείρας
βῆ φεύγων ἐπὶ πόντον· ἀπείλησαν γάρ οἱ ἄλλοι
υἱέες υἱωνοί τε βίης Ἡρακληείης.
αὐτὰρ ὅ γ' ἐς Ῥόδον ἷξεν ἀλώμενος, ἄλγεα πάσχων·
τριχθὰ δὲ ϝοίκηθεν καταφυλαδόν, ἠδ' ἐφίληθεν
ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισι ϝανάσσει,
καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων.
    Νιρεὺς αὖ Σύμηθεν ἄγε τρεῖς νῆας ἐϜίσας,
Νιρεὺς Ἀγλαΐης υἱὸς Χαρόποιο τε Ϝάνακτος,
Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα.
ἀλλ' ἀλαπαδνὸς ἔην, παῦρος δέ Ϝοι εἵπετο λαός.
    οἳ δ' ἄρα Νίσυρόν τ' εἶχον Κράπαθόν τε Κάσον τε
καὶ Κῶν Εὐρυπύλοιο πόλιν, νήσους τε Καλύδνας,
τῶν αὖ Φείδιππός τε καὶ Ἄντιφος ἡγησάσθην,
Θεσσαλοῦ υἷε δύω Ἡρακλεΐδαο Ϝάνακτος.
τῶν δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
    νῦν αὖ τοὺς ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον·
οἵ τ' Ἄλον οἵ τ' Ἀλόπην οἵ τε Τρηχῖν' ἐνέμοντο,
οἵ τ' εἶχον Φθίην ἠδ' Ἑλλάδα καλλιγύναικα,
Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί,
τῶν αὖ πεντήκοντα νεῶν ἦν ἀρχὸς Ἀχιλλεύς.

659 = Ο 531 660^b = Δ 280   674 = Ρ 280. λ 470. 551   680 = Β 516.

656 *Κάμειρον* A: *Κάμιρον* C   657 *τῶν δὲ* vetus lectio fuisse videtur   658—670 veteri catalogo ab interpolatore additi sunt   661 *τράφ' ἐνὶ* AC: *τράφη ἐν* Barnes, ut in codicibus scriptum est Γ 201 et Λ 222   665 *βῆ φεύγων* codd. et Ar.: *τὸ Ὁμηρικὸν ἔθος 'βῆ φεύγειν' προφέρεται* schol. A — *γάρ οἱ* codd.   667 *αὐτὰρ*: *αἶψα δ'* Zen.   668 *ᾤκηθεν* codd.   669 *ἀθετεῖται* schol. A   672 *Χαρόποιο τ' ἄν.* codd.   673—5 damnavit, medium ne scripsit quidem Zen., primum saltem agnovit Aristoteles rhet. III 12   677 *Κόον* Nauck, cf. Ξ 255. Ο 28. h. Ap. Del. 42   678 *τῶν δ'* C   680 *τῶν* A: *τοὺς* C   681 *οἳ δ' Ἄργος εἶχον τὸ Πελασγικὸν οὖθαρ ἀρούρης* Zen.   682 *γρ. οἵ θ' Ἄλον οἵ θ' Ἁλιοῦνθ'* Strabo IX p. 432   686—94 damnavit Zen., prisco catalogo ab eodem poeta quo versus 699—709 et 721—728 et 760—778 et 658—70 additi esse videntur.

ἀλλ' οἵ γ' οὐ πολέμοιο δυσηχέος ἐμνώοντο· 4
οὐ γὰρ ἔην ὅς τίς σφιν ἐπὶ στίχας ἡγήσαιτο.
κεῖτο γὰρ ἐν νήεσσι ποδάρκης δῖος Ἀχιλλεύς,
κούρης χωόμενος Βρισηΐδος ἠυκόμοιο,
τὴν ἐκ Λυρνησσοῦ ἐξείλετο πολλὰ μογήσας,
Λυρνησσὸν διαπορθήσας καὶ τείχεα Θήβης,
κὰδ δὲ Μύνητ' ἔβαλεν καὶ Ἐπίστροφον ἐγχεσιμώρους,
υἱέας Εὐηνοῖο Σεληπιάδαο ϝάνακτος.
τῆς ὅ γε κεῖτ' ἀχέων, τάχα δ' ἀνστήσεσθαι ἔμελλεν.
    οἳ δ' εἶχον Φυλάκην καὶ Πύρασον ἀνθεμόεντα,
Δήμητρος τέμενος, Ἴτωνά τε μητέρα μήλων,
ἀγχίαλόν τ' Ἀντρῶνα ἰδὲ Πτελεὸν λεχεποίην,
τῶν αὖ Πρωτεσίλαος ἀρήιος ἡγεμόνευεν
ζωὸς ἐών· τότε δ' ἤδη ἔχεν κάτα γαῖα μέλαινα.
τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος Φυλάκῃ ἐλέλειπτο
καὶ δόμος ἡμιτελής· τὸν δ' ἔκτανε Δάρδανος ἀνήρ
νηὸς ἀποθρῴσκοντα πολὺ πρώτιστον Ἀχαιῶν.
οὐδὲ μὲν οὐδ' οἳ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν·
ἀλλά σφας κόσμησε Ποδάρκης ὄζος Ἄρηος,
Ϝιφίκλοιο υἱὸς πολυμήλου Φυλακίδαο,
αὐτοκασίγνητος μεγαθύμου Πρωτεσιλάου
ὁπλότερος γενεῇ· ὃ δ' ἅμα πρότερος καὶ ἀρείων,
ἥρως Πρωτεσίλαος ἀρήιος· οὐδέ τι λαοί
δεύονθ' ἡγεμόνος, πόθεόν γε μὲν ἐσθλὸν ἐόντα.
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
    οἳ δὲ Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην,
Βοίβην καὶ Γλαφύρας καὶ ἐυκτιμένην Ἰαωλκόν,
τῶν ἦρχ' Ἀδμήτοιο φίλος παῖς ἕνδεκα νηῶν,
Εὔμηλος, τὸν ὑπ' Ἀδμήτῳ τέκε δῖα γυναικῶν
Ἄλκηστις, Πελίαο θυγατρῶν Ϝεῖδος ἀρίστη.
    οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο
καὶ Μελίβοιαν ἔχον καὶ Ὀλιζῶνα τρηχεῖαν,

688^b = Λ 121 690^b = ε 449 691^b = Δ 378 696^b = Β 730 701^b = Π 807 704^b = Β 540   707 = τ 184 709^b = Χ 176.

686 *πολέμου δυσϜηχέος* Bekker   690 *ἐν Λυρνησσῷ* Zen.   694 *ἀστήσεσθαι* Zen.   696 *γρ. Σιτῶνα* Eust. *ϝιτῶνα* Doederlein em. Hom. p. 10   697 *ἀγχιάλην* Zen.   699—709 postea additos esse docet Kammer, Zur hom. Frage I 35   701 *Δάρδανος ἀνήρ*: *φαίδιμος Ἕκτωρ* Demetrius Scepsius teste Tzetze in Lycophr. p. 673, ut in Cypriis relatum esse Proclus testatur   703 *γε τὸν ἀρχόν* coni. Nauck   704 *σφέας* codd.   705 *Ἰφίκλοιο* Nauck: *Ἰφίκλου* codd., cf. Β 566   707 *ἅμα* Ar.: *ἄρα* AC   708—9 damnavit Wolf   711 *παραὶ Βοιβηΐδα λίμνην*: *γρ. ἰδὲ κρήνην Ὑπέρειαν* schol. Pind. Pyth. IV 221   712 *καὶ Γλαφύρας*: *τε γλαφυρὰν* Steph. Byz. s. v. *Βοίβη*   717 *καὶ Πιτύειαν ἔχον* Steph. Byz. s. v. *Ὀλιζών*.

τῶν δὲ Φιλοκτήτης ἦρχεν, τόξων ἐὺ Fειδώς, 4
ἑπτὰ νεῶν· ἐρέται δ' ἐν ἑκάστῃ πεντήκοντα
ἐμβέβασαν, τόξων ἐὺ Fειδότες ἶφι μάχεσθαι.
ἀλλ' ὃ μὲν ἐν νήσῳ κεῖτο κρατέρ' ἄλγεα πάσχων,
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷες Ἀχαιῶν
ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου.
ἔνθ' ὅ γε κεῖτ' ἀχέων· τάχα δὲ μνήσεσθαι ἔμελλον
Ἀργεῖοι παρὰ νηυσὶ Φιλοκτήταο Fάνακτος.
οὐδὲ μὲν οὐδ' οἳ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν·
ἀλλὰ Μέδων κόσμησεν, Ὀιλῆος νόθος υἱός,
τόν ῥ' ἔτεκεν Ῥήνη ὑπ' Ὀιλῆι πτολιπόρθῳ.
οἳ δ' εἶχον Τρίκκην καὶ Ἰθώμην κλωμακόεσσαν,
οἵ τ' ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου Οἰχαλιῆος,
τῶν αὖθ' ἡγείσθην Ἀσκληπιὸο δύο παῖδε,
ἰητῆρ' ἀγαθώ, Ποδαλείριος ἠδὲ Μαχάων.
τῶν δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
οἳ δ' ἔχον Ὀρμένιον, οἵ τε κρήνην Ὑπέρειαν,
οἵ τ' ἔχον Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα,
τῶν ἦρχ' Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός,
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
οἳ δ' Ἄργισσαν ἔχον καὶ Γυρτώνην ἐνέμοντο,
Ὄρθην Ἠλώνην τε πόλιν τ' Ὀλοοσσόνα λευκήν,
τῶν αὖθ' ἡγεμόνευε μενεπτόλεμος Πολυποίτης,
υἱὸς Πειριθόοιο, τὸν ἀθάνατος τέκετο Ζεύς —
τόν ῥ' ὑπὸ Πειριθόῳ τέκετο κλυτὸς Ἱπποδάμεια
ἤματι τῷ, ὅτε Φῆρας ἐτίσατο λαχνήεντας,
τοὺς δ' ἐκ Πηλίου ὦσε καὶ Αἰθίκεσσι πέλασσεν —
οὐκ οἶος, ἅμα τῷ γε Λεοντεὺς ὄζος Ἄρηος,
υἱὸς ὑπερθύμοιο Κορώνου Καινεΐδαο.
τοῖς δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Γουνεὺς δ' ἐκ Κύφου ἦγε δύω καὶ Fείκοσι νῆας·

718^{b} = *Δ* 196. *M* 350 720^{b} = *A* 151 721 = ε 13 722^{a} = *Φ* 58 726 = *B* 703 733 = *B* 516 736^{b} = *H* 167 741^{b} = *Ξ* 434 743^{a} = *B* 351.

718 *τῶν αὖ ἡγεμόνευε Φιλοκτήτης ἀγὸς ἀνδρῶν* Zen. 719 *δὲ Fεκάστῃ* Bekker 720 *ἶφι*: *ἠδὲ* coni. Nauck 721—8 veteri catalogo abiudicat Kammer, Zur hom. Frage I 37 724—5 damnat Zen. 726 *ἀλλὰ*: *τοὺς δὲ* Zen. 729 *κλωμακόεσσαν* C: *κλιμακόεσσαν* A 731 *Ἀσκληπιοῦ* codd., cf. prol. § 80 733 *τοῖς* codd. et Ar., alios non dativum *τοῖς*, sed genetivum *τῶν* legisse significat schol. A, cf. *B* 516. 680 734 post 735 collocatum habet A 738 *Ἄργεισαν* A *Ἄργισαν* C, γρ. *Ἄργειαν* Eust. 741 in suspicionem vocavit Hercher, Ebene von Troja p. 107 — *ἀθάνατον* Zen. 742—6 seclusit et 747 *τῷ δ' ἅμα* scripsit Koechly 744 *Αἰθιόπεσσι* Democrines 747 fort. *τοῖν*, sed vide *K* 196

τῷ δ' Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί, 4
οἳ περὶ Δωδώνην δυσχείμερον οἰκί' ἔθεντο,
οἵ τ' ἀμφ' ἱμερτὸν Τιταρήσιον ἔργ' ἐνέμοντο,
ὅς ῥ' ἐς Πηνειὸν προϊεῖ καλλίρροον ὕδωρ.
[οὐδ' ὅ γε Πηνειῷ συμμίσγεται ἀργυροδίνῃ,
ἀλλά τέ μιν καθύπερθεν ἐπιρρέει ἠύτ' ἔλαιον·
ὅρκου γὰρ δεινοῦ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ.]
Μαγνήτων δ' ἦρχε Πρόθοος Τενθρηδόνος υἱός,
οἳ περὶ Πηνειὸν καὶ Πήλιον εἰνοσίφυλλον
ναίεσκον. τῶν μὲν Πρόθοος θοὸς ἡγεμόνευεν,
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν.
τίς τ' ἂρ τῶν ὄχ' ἄριστος ἔην, σύ μοι ἔννεπε, Μοῦσα,
αὐτῶν ἠδ' ἵππων, οἳ ἅμ' Ἀτρεΐδῃσιν ἕποντο.
ἵπποι μὲν μέγ' ἄρισται ἔσαν Φηρητιάδαο,
τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς,
ὄτριχας οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐFίσας·
τὰς ἐν Πιερίῃ θρέψ' ἀργυρότοξος Ἀπόλλων,
ἄμφω θηλείας, φόβον Ἄρηος φορεούσας.
ἀνδρῶν αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας,
ὄφρ' Ἀχιλεὺς μήνιεν· ὃ γὰρ πολὺ φέρτατος ἦεν,
ἵπποι θ' οἳ φορέεσκον ἀμύμονα Πηλεΐωνα.
ἀλλ' ὃ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισιν
κεῖτ' ἀπομηνίσας Ἀγαμέμνονι ποιμένι λαῶν,
Ἀτρεΐδῃ· λαοὶ δὲ παρὰ ῥηγμῖνι θαλάσσης
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες
τόξοισίν θ'· ἵπποι δὲ παρ' ἅρμασι Fοῖσι Fέκαστος
λωτὸν ἐρεπτόμενοι ἐλεόθρεπτόν τε σέλινον
ἕστασαν· ἅρματα δ' εὖ πεπυκασμένα κεῖτο Fανάκτων
ἐν κλισίῃς. οἳ δ' ἀρχὸν ἀρηίφιλον ποθέοντες
φοίτων ἔνθα καὶ ἔνθα κατὰ στρατόν, οὐδ' ἐμάχοντο.

752^{b} = *M* 33. Hes. fr. 202 755^{b} = κ 514 760 = *B* 487 761^{a} = *A* 8 770^{b} = *K* 323 771—2 = *H* 229—30 771 = τ 182 774 = δ 626. ρ 168 775^{b} = *Θ* 544.

749 *Ἐνιᾶνες*: γρ. *ἄρ' Ἴωλοι* Steph. Byz. s. v. *Ἴωλοι* 750 *δυσχείμερα* Bentley 751 *ἔργα νέμοντο* Ar. 753 *προίει* codd. — *ἀργυροδίνης* coni. Bergk in Phil. XXXII 130 — 753—5 damnavit Koechly 760 *ἦσαν*: *ἔσσαν* C 760 catalogi finem fuisse statuit Koechly op. 30 765 *ὄτριχας ὀFέτεας* malo, *αὐετῆ* glossa Hesychii 766 *Πιερίῃ* C *Πηερίῃ* A *Πηρείῃ* Eust. ut Steph. Byz. s. v. *Πήρεια*, *Φηρίῃ* v. l. in Macrob. sat. I 17, 44, *Φηρείῃ* coni. Valckenaer 769 γρ. *φέρτερος* schol. A 776 *ἐλεοθρ.* C.

Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ
Πριαμίδης· ἅμα τῷ γε πολὺ πλεῖστοι καὶ ἄριστοι
λαοὶ θωρήσσοντο, μεμαότες ἐγχείῃσιν.
Δαρδανίων αὖτ' ἦρχεν ἐὺς πάις Ἀγχίσαο
Αἰνείας, τὸν ὑπ' Ἀγχίσῃ τέκε δῖ' Ἀφροδίτη,
Ἴδης ἐν κνημοῖσι θεὰ βροτῷ εὐνηθεῖσα,
οὐκ οἷος, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε,
Ἀρχέλοχός τ' Ἀκάμας τε, μάχης ἐὺ Ϝειδότε πάσης.
οἳ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης,
ἀφνειοί, πίνοντες ὕδωρ μέλαν Αἰσήποιο,
Τρῶες, τῶν αὖτ' ἦρχε Λυκάονος ἀγλαὸς υἱός
Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν.
οἳ δ' Ἀδρήστειάν τ' εἶχον καὶ δῆμον Ἀπαισοῦ
καὶ Πιτύειαν ἔχον καὶ Τηρείης ὄρος αἰπύ,
τῶν ἦρχ' Ἄδρηστός τε καὶ Ἄμφιος λινοθώρηξ,
υἷε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων
Ϝείδεε μαντοσύνας, οὐδὲ Ϝοὺς παῖδας ἔασκεν
στείχειν ἐς πόλεμον φθισήνορα. τὼ δέ Ϝοι οὔ τι
πειθέσθην· Κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.
οἳ δ' ἄρα Περκώτην καὶ Πράκτιον ἀμφενέμοντο
καὶ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην,
τῶν αὖθ' Ὑρτακίδης ἦρχ' Ἄσιος, ὄρχαμος ἀνδρῶν,
Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι
αἴθωνες μεγάλοι, ποταμοῦ ἄπο Σελλήεντος.
Ἱππόθοος δ' ἄγε φῦλα Πελασγῶν ἐγχεσιμώρων,
τῶν οἳ Λάρισαν ἐριβώλακα ναιετάασκον.
τῶν ἦρχ' Ἱππόθοός τε Πύλαιός τ' ὄζος Ἄρηος,
υἷε δύω Λήθοιο Πελασγοῦ Τευταμίδαο.
αὐτὰρ Θρήικας ἦγ' Ἀκάμας καὶ Πείροος ἥρως,
ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐϜέργει.
Εὔφημος δ' ἀρχὸς Κικόνων ἦν αἰχμητάων,
υἱὸς Τροιζήνοιο διοτρεφέος Κεάδαο.
αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους
τηλόθεν ἐξ Ἀμυδῶνος, ἀπ' Ἀξιοῦ εὐρυρέοντος,
Ἀξιοῦ, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν.

821^a = *Λ* 105 822—3 = *M* 99—100 831—4 = *Λ* 329—32
838—9 = *M* 96—7 841 = *P* 172 848^b = *K* 428 849 = *Π* 288
850 = *Φ* 158.

816 incipit *ΤΡΩΙΚΟΣ ΔΙΑΚΟΣΜΟΣ*, de quo vide prol. p. 31 828 γρ. *δὲ Δρήστειαν* Eust. 846 *ἔεν* recenti huic versui reddere veritus sum — post 848 schol. B ad *Φ* 140 et Eust. p. 1228, 37 nonnullos addidisse narrant *Πηλεγόνος θ' υἱὸς περιδέξιος Ἀστεροπαῖος* 849 *Ἀβυδῶνος* Steph. Byz. s. h. v. 850 γρ. *αἴῃ* Eust.

Παφλαγόνων δ' ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ
ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων,
οἵ ῥα Κύτωρον ἔχον καὶ Σήσαμον ἀμφενέμοντο
ἀμφί τε Παρθένιον ποταμὸν κλυτὰ δώματ' ἔναιον,
Κρῶμνάν τ' Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους.
αὐτὰρ Ἁλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον
τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.
Μυσῶν δὲ Χρόμις ἦρχε καὶ Ἔννομος οἰωνιστής·
ἀλλ' οὐκ οἰωνοῖσιν ἐρύσατο κῆρα μέλαιναν,
ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
ἐν ποταμῷ, ὅθι περ Τρῶας κεράιζε καὶ ἄλλους.
Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδής
τῆλ' ἐξ Ἀσκανίης· μέμασαν δ' ὑσμῖνι μάχεσθαι.
Μῄοσιν αὖ Μέσθλης τε καὶ Ἄντιφος ἡγησάσθην,
υἷε Ταλαιμένεος, τὼ Γυγαίη τέκε λίμνη,
οἳ καὶ Μῄονας ἦγον ὑπὸ Τμώλῳ γεγαῶτας.
Νάστης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων,
οἳ Μίλητον ἔχον Φθιρῶν τ' ὄρος ἀκριτόφυλλον
Μαιάνδρου τε ῥοὰς Μυκάλης τ' αἰπεινὰ κάρηνα·
[τῶν μὲν ἄρ' Ἀμφίμαχος καὶ Νάστης ἡγησάσθην,
Νάστης Ἀμφίμαχός τε, Νομίονος ἀγλαὰ τέκνα,]
ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν ἠύτε κούρη,
νήπιος, οὐδέ τί Ϝοι τό γ' ἐπήρκεσε λυγρὸν ὄλεθρον,
ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
ἐν ποταμῷ, χρυσὸν δ' Ἀχιλεὺς ἐκόμισσε δαΐφρων.
Σαρπηδὼν δ' ἦρχεν Λυκίων καὶ Γλαῦκος ἀμύμων
τηλόθεν ἐκ Λυκίης, Ξάνθου ἄπο δινήεντος.

858 = *P* 218 860^b = *B* 874. *Π* 134. 165. 865. *P* 388. 486.
873 = *Z* 16 874 = *B* 860 876 = *Ξ* 425 877^b = *E* 479.

852 *Ἐνετῆς* Zen., *ἐκ Ϝενετῶν* Cornelius Nepos apud Plinium n. h. VI 2 855 γρ. *Κρῶμναν Κωβίαλόν τε* Strabo XII p. 545 et Steph. Byz. et schol. Apoll. Rhod. *B* 942; at vide Niese Hom. Schiffscatalog p. 55 — schol. Vict. ad *Υ* 329 *τινὲς δὲ καὶ φέρουσι Καύκωνας ⟨δ'⟩ αὖτ' ἦγε Πολυκλέος υἱὸς Ἄμειβος, | οἳ περὶ Παρθένιον ποταμὸν κλυτὰ δώματα ναῖον*, cf. Strabo XII p. 542 856 γρ. *Ἀλαζώνων* vel *Ἀμαζώνων* Strabo XII p. 550, γρ. *Ὀλιζώνων* Eust. 857 *ἐλθόντ' ἐξ Ἀλόπης, ὅθ' Ἀμαζονίδων γένος ἐστίν* Ephorus teste Strabone XII p. 540, γρ. *ἐξ Ἀλύβων* et *ἐκ Χαλύβων* vel *ἐκ Χαλύβης* et *ἐξ Ἀλόπης* vel *ἐξ Ἀλόβης* Eust. 859 *ἐρύσατο* GL: *ἐρύσσατο* AC 860—1 *ἀθετοῦνται* schol. A 864 γρ. *Μέστρης* Eust. 865 *Γυγαίη*: *γυραίως* (an *Γυραίη*?) ed. Massil. — *Γυγαίη τέκε λίμνη* Chaeris et Diodorus — *Λίμνη* Spitzner — post 866 exemplar Euripideum addidisse narrat Eust.: *Τμώλῳ ὑπὸ νιφόεντι Ὕδης ἐν πίονι δήμῳ* (= *Υ* 385), cf. Strabo XIII p. 367, 2 867 *Νάστης*: *Μάσθλης* Strabo XIV p. 661 868 *Φθιρῶν* AC et Herodianus: *Φθειρῶν* HL et Hesychius s. h. v. 870—1 damnat L. Müller in Phil. XI 176 — 874 et 875 obelo notati sunt in A.

ΟΡΚΙΑ.

Γ
Αὐτὰρ ἐπεὶ κόcμηθεν ἅμ' ἡγεμόνεccι Fέκαcτοι,
Τρῶεc μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴcαν, ὄρνιθεc ὥc,
ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρῴ,
αἵ τ' ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέcφατον ὄμβρον,
κλαγγῇ ταί γε πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων,
ἀνδράcι Πυγμαίοιcι φόνον καὶ κῆρα φέρουcαι·
ἠέριαι δ' ἄρα ταί γε κακὴν ἔριδα προφέρονται·
οἳ δ' ἄρ' ἴcαν cιγῇ μένεα πνείοντεc Ἀχαιοί,
ἐν θυμῷ μεμαῶτεc ἀλεξέμεν ἀλλήλοιcιν.
ηὖτ' ὄρεοc κορυφῇcι Νότοc κατέχευεν ὀμίχλην,
ποιμέcιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸc ἀμείνω·
τόccον τίc τ' ἐπὶ λεύccει, ὅcον τ' ἐπὶ λᾶαν ἵηcιν·
ὣc ἄρα τῶν ὑπὸ ποccὶ κονίcαλοc ὤρνυτ' ἀFελλὴc
ἐρχομένων· μάλα δ' ὦκα διέπρηccον πεδίοιο.

οἳ δ' ὅτε δὴ cχεδὸν ἦcαν ἐπ' ἀλλήλοιcιν ἰόντεc,
Τρωcὶν μὲν προμάχιζεν Ἀλέξανδροc θεοFειδήc,
παρδαλέην ὤμοιcιν ἔχων καὶ καμπύλα τόξα
καὶ ξίφοc· αὐτὰρ ὃ δοῦρε δύω κεκορυθμένα χαλκῷ
πάλλων Ἀργείων προκαλίζετο πάνταc ἀρίcτουc
ἀντίβιον μαχέcαcθαι ἐν αἰνῇ δηιοτῆτι.

8^b = *Β* 536 14 = *Β* 785 15 = *Ε* 14. 630. 850. Ζ 121 . . 18 = *Λ* 43 20 = *Η* 40. 51.

Libri *ΓΔΕ* filum narrationis libro B incohatum aptissime pertexunt, ut sex carmina 3. 5. 6. 7. 8. 9 et uno tenore deinceps a poeta composita et a rhapsodis coniunctim recitari solita esse videantur; tamen vide quae ad *Γ* 15 et *Δ* 223 adnotavimus. V. 2 *κλαγγῇ τ'* CD: *κλαγγῇ* A 3 *οὐρανόθι πρῴ* coni. Ahrens Rh. Mus. II 166: *οὐρανόθι πρό* codd., *οὐρανόθεν πρό* fuisse qui conicerent testatur Apollonius de adv. 608, 20; cf. prol. p. 112 5 *πέτωνται* D 10 *ηὖτ'* ed. Chia et Massil.: *εὖτ'* codd. (cf. *Τ* 386), *ἠύτ' ὄρεος* vulgo, fort.: *ὥς τ' ὄρεος* 11 *γρ. ἀμείνων* schol. A 12 *τις ἔπι* D 13 *κονισάλου* Aristoph. — *Γ* 15 usque ad *Δ* 446 si abessent non magnopere se desideraturum dicit Schoemann op. III 11, a versu 15 ad *Δ* 446 rhapsodis transire licuisse exposui prol. p. 12 18—20 damnavit Zen., 19—20 damnavit Ar. 18 *ὃ δοῦρε* ACD: *ὃ* om. Zen. Aristoph. Ar.

τὸν δ' ὡc οὖν ἐνόηcεν ἀρηίφιλοc Μενέλαοc
ἐρχόμενον προπάροιθεν ὁμίλου μακρὰ βιβάντα,
ὥc τε λέων ἐχάρη μεγάλῳ ἐπὶ cώματι κύρcαc,
εὑρὼν ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
πεινάων· μάλα γάρ τε κατεcθίει, εἴ περ ἂν αὐτόν
cεύωνται ταχέεc τε κύνεc θαλεροί τ' αἰζηοί·
ὣc ἐχάρη Μενέλαοc Ἀλέξανδρον θεοFειδέα
ὀφθαλμοῖcι Fιδών· φάτο γὰρ τίcεcθαι ἀλείτην.
αὐτίκα δ' ἐξ ὀχέων cὺν τεύχεcιν ἆλτο χαμᾶζε.
τὸν δ' ὡc οὖν ἐνόηcεν Ἀλέξανδροc θεοFειδήc
ἐν προμάχοιcι φανέντα, κατεπλήγη φίλον ἦτορ,
ἂψ δ' ἑτάρων ἐc Fέθνοc ἐχάζετο κῆρ' ἀλεFείνων.
ὡc δ' ὅτε τίc τε δράκοντα Fιδὼν παλίνορcοc ἀπέcτη
οὔρεοc ἐν βήccηc, ὑπό τε τρόμοc ἔλλαβε γυῖα,
ἂψ δ' ἀνεχώρηcεν, ὦχρόc τέ μιν εἷλε παρειάc,
ὣc αὖτιc καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων,
δFείcαc Ἀτρέοc υἱὸν Ἀλέξανδροc θεοFειδήc.
τὸν δ' Ἕκτωρ νείκεccε Fιδὼν αἰcχροῖcι Fέπεccιν·
„Δύcπαρι, Fεῖδοc ἄριcτε, γυναιμανέc, ἠπεροπευτά,
αἴθ' ὄφελεc ἄγονόc τ' ἔμεναι ἄγαμόc τ' ἀπολέcθαι.
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ἦεν,
ἢ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων.
ἦ που καγχαλόωcι καρηκομόωντεc Ἀχαιοί,
φάντεc ἀριcτῆα πρόμον ἔμμεναι, οὕνεκα καλόν
Fεῖδοc ἔπ'· ἀλλ' οὐκ ἔcτι βίη φρεcίν, οὐδέ τιc ἀλκή.
ἦ τοιόcδε ἐὼν ἐν ποντοπόροιcι νέεccιν
πόντον ἐπιπλώcαc, ἑτάρουc ἐρίFηραc ἀγείραc,
μιχθεὶc ἀλλοδαποῖcι γυναῖκ' εὐFειδέ' ἀνῆγεc
ἐξ ἀπίηc γαίηc, νυὸν ἀνδρῶν αἰχμητάων,
πατρί τε cῷ μέγα πῆμα πόληί τε παντί τε δήμῳ;

21^a = *Γ* 30. *Λ* 248 24 = *Ο* 271 25 = *Φ* 24 28^b = *υ* 121 29 = *Γ* 419. *Ε* 494. Ζ 103 . . 30 = *Λ* 581 32 = *Λ* 585. *Ν* 566. 596. 648. *Ξ* 408 . . 34 = *Λ* 87 et *Ξ* 506 39^b = Ζ 325 39 = *Ν* 769.

22 *βιβάντα* Bekker: *βιβῶντα* codd. 27 *θεοειδῆ* C 28 *τίσεσθαι* A: *τίσασθαι* CD — *ἀλείτας* Zen. 31 *κατεπλάγη* C 35 *ἄψ τ'* Bekker — *παρειά* Ixion *παρῃά* Dionys. Sidon. 38 *αἰσχροῖς ἐπέεσσι* codd., cf. prol. § 85 40 *ἄγαμός τ' ἔμεναι ἄγονος τε* Suet. vit. Aug. 65 — post 40 Dionysium Scytobrachionem addidisse refert Eust.: *μηδέ τι γούνασιν οἷσιν ἐφέσσασθαι φίλον υἱόν* (= *Ι* 455) 42 *ἐπόψιον* Aristoph. 46 *τοιοῦτος ἐὼν* Bentley.

[δυςμενέςιν μὲν χάρμα, κατηφείην δὲ coὶ αὐτῷ;]
οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον Μενέλαον;
γνοίης χ᾽, οἵου φωτὸς ἔχεις θαλερὴν παράκοιτιν.
οὐκ ἄν τοι χραίςμῃ κίθαρις τά τε δῶρ᾽ Ἀφροδίτης,
ἥ τε κόμη τό τε Fεῖδος, ὅτ᾽ ἐν κονίῃςι μιγείης.
ἀλλὰ μάλα Τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη
λάϊνον ἕcco χιτῶνα κακῶν ἕνεχ᾽ ὅςςα FέFοργας."
τὸν δ᾽ αὖτε προςέFειπεν Ἀλέξανδρος θεοFειδής·
„Ἕκτορ, ἐπεί με κατ᾽ αἶςαν ἐνείκεςας οὐδ᾽ ὑπὲρ αἶςαν —
αἰεί coι κραδίη πέλεκυς ὥς ἐςτιν ἀτειρής,
ὅς τ᾽ εἶςιν διὰ δουρὸς ὑπ᾽ ἀνέρος, ὅς ῥά τε τέχνῃ
νήϊον ἐκτάμνῃςιν, ὀφέλλει δ᾽ ἀνδρὸς ἐρωήν·
ὣς coὶ ἐνὶ ςτήθεςςιν ἀτάρβητος νόος ἐςτίν —
μή μοι δῶρ᾽ ἐρατὰ πρόφερε χρυςέης Ἀφροδίτης·
οὔ τοι ἀπόβλητ᾽ ἐςτὶ θεῶν ἐρικυδέα δῶρα,
ὅςςα κεν αὐτοὶ δῶςι, Fεκὼν δ᾽ οὐκ ἄν τις ἕλοιτο.
νῦν αὖτ᾽ εἴ μ᾽ ἐθέλεις πολεμίζειν ἠδὲ μάχεςθαι,
ἄλλους μὲν κάθιςον Τρῶας καὶ πάντας Ἀχαιούς,
αὐτὰρ ἔμ᾽ ἐν μέςςῳ καὶ ἀρηΐφιλον Μενέλαον
ςυμβάλετ᾽ ἀμφ᾽ Ἑλένῃ καὶ κτήμαςι πᾶςι μάχεςθαι.
ὁππότερος δέ κε νικήςῃ κρείςςων τε γένηται,
κτήμαθ᾽ ἑλὼν εὖ πάντα γυναῖκά τε Fοίκαδ᾽ ἀγέςθω·
οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιςτὰ ταμόντες
ναίοιτε Τροίην ἐριβώλακα, τοὶ δὲ νεέςθων
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιΐδα καλλιγύναικα."
ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ αὖτ᾽ ἐχάρη μέγα μῦθον ἀκούςας,
καί ῥ᾽ ἐς μέςςον ἰὼν Τρώων ἀνέFεργε φάλαγγας,
μέςςου δουρὸς ἑλών· τοὶ δ᾽ ἱδρύνθηςαν ἅπαντες·
τῷ δ᾽ ἐπετοξάζοντο καρηκομόωντες Ἀχαιοί,
ἰοῖςίν τε τιτυςκόμενοι λάεςςί τ᾽ ἔβαλλον.

53 cf. υ 237. φ 202   54 = Λ 387   58—9 = Z 332—3   63 = κ 329   68 = H 49   71 = σ 46   76—8 = H 54—6.

51 induxi, quem versum Aristarchus antecedentibus, Zenodotus sequenti versui coniunxit — *κατηφείην* codd. et sic cum edit. Argolica Aristoph. et Ar.: *κατηφείη* Zen.   53 *γνοίης θ᾽* Vrat.   54 *χραίσμοι* Bekker — *γρ. κίδαρις* schol. A   55 *μιγείης* Thiersch Gr. Gr. § 322   56 *δειδήμονες*: *ἐλεήμονες* Zen.   57 *λαίνον* codd. quod duarum hic esse syllabarum statuit Heyne   64 *χρυσῆς* ACD   65 *οὔτι* D   71 *κρείσσω* Zen.   74 *ναίοιμεν* Zen.   78 om. A   80 *τε* om. CD.

αὐτὰρ ὁ μακρὸν ἄυςε Fάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ἴςχεςθ᾽, Ἀργεῖοι, μὴ βάλλετε, κοῦροι Ἀχαιῶν·
ςτεῦται γάρ τι Fέπος Fερέειν κορυθαιόλος Ἕκτωρ."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἔςχοντο μάχης ἄνεῴ τ᾽ ἐγένοντο
ἐςςυμένως. Ἕκτωρ δὲ μετ᾽ ἀμφοτέροιςιν ἔFειπεν·
„κέκλυτέ μευ, Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοί,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν.
ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιούς
τεύχεα κάλ᾽ ἀποθέςθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὸν δ᾽ ἐν μέςςῳ καὶ ἀρηΐφιλον Μενέλαον
οἴους ἀμφ᾽ Ἑλένῃ καὶ κτήμαςι πᾶςι μάχεςθαι.
ὁππότερος δέ κε νικήςῃ κρείςςων τε γένηται,
κτήμαθ᾽ ἑλὼν εὖ πάντα γυναῖκά τε Fοίκαδ᾽ ἀγέςθω·
οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιςτὰ τάμωμεν."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο ςιωπῇ.
τοῖςι δὲ καὶ μετέFειπε βοὴν ἀγαθὸς Μενέλαος·
„κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιςτα γὰρ ἄλγος ἱκάνει
θυμὸν ἐμόν· φρονέω δὲ διακρινθήμεναι ἤδη
Ἀργείους καὶ Τρῶας, ἐπεὶ κακὰ πολλὰ πέπαςθε
εἵνεκ᾽ ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου ἕνεκ᾽ ἀρχῆς.
ἡμέων δ᾽ ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται,
τεθναίη· ἄλλοι δὲ διακρινθεῖτε τάχιςτα.
οἴςετε Fάρν᾽, ἕτερον λευκὸν ἑτέρην δὲ μέλαιναν,
Γῇ τε καὶ Ἠελίῳ· Διὶ δ᾽ ἡμεῖς οἴςομεν ἄλλον·
ἄξετε δὲ Πριάμοιο βίην, ὄφρ᾽ ὅρκια τάμνῃ
αὐτός, ἐπεί Fοι παῖδες ὑπερφίαλοι καὶ ἄπιςτοι,
μή τις ὑπερβαςίῃ Διὸς ὅρκια δηλήςηται.
αἰεὶ δ᾽ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται·
οἷς δὲ γέρων μετέῃςιν, ἅμα πρόςςω καὶ ὀπίςςω
λεύςςει, ὅπως ὄχ᾽ ἄριςτα μετ᾽ ἀμφοτέροιςι γένηται."

85—6 = H 66—7   87 = H 374   90—4 = 69—73   95—6 = K 218—9   95 = H 92. 398. Θ 28 . . .   100b = Z 356. Ω 28.

post 86 add. C: *ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει* (= Θ 349)   92 *κρείσσω* Zen.   99 *Ἀργεῖοι καὶ Τρῶες* Zen. — *πέπασθε* A Ar.: *πέποσθε* CD et *γρ.* A   100 *ἀρχῆς* codd. et Ar.: *ἄτης* Zen., cf. prol. p. 176   103 *δ᾽ ἄρνε* codd.   105 *ἄξετε* ACD et Ar., alios *ἄξατε* scripsisse arguit schol. A   109 *οἷς*: *ὃς* coni. Nauck, *εἰ* malo — *δὲ γέρων* scripsi: *δ᾽ ὁ γέρων* codd.

ὣς ἔφαθ', οἳ δ' ἐχάρησαν Ἀχαιοί τε Τρῶές τε, **5**
Ϝελπόμενοι παύσεσθαι ὀϊζυροῦ πολέμοιο.
καί ῥ' ἵππους μὲν ἔρυξαν ἐπὶ στίχας, ἐκ δ' ἔβαν αὐτοί,
τεύχεά τ' ἐξεδύοντο. τὰ μὲν κατέθεντ' ἐπὶ γαίῃ
πλησίον ἀλλήλων, ὀλίγη δ' ἦν ἀμφὶς ἄρουρα·
Ἕκτωρ δὲ προτὶ Ϝάστυ δύω κήρυκας ἔπεμπεν
καρπαλίμως Ϝάρνας τε φέρειν Πρίαμόν τε καλέσσαι.
αὐτὰρ ὁ Ταλθύβιον προΐει κρείων Ἀγαμέμνων
νῆας ἔπι γλαφυρὰς ἰέναι, ἰδὲ Ϝάρν' ἐκέλευεν
οἰσέμεναι· ὃ δ' ἄρ' οὐκ ἀπίθησ' Ἀγαμέμνονι δίῳ.

ΤΕΙΧΟΣΚΟΠΙΑ.

Ἶρις δ' αὖθ' Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν, Γ 121
Ϝειδομένη γαλόῳ, Ἀντηνορίδαο δάμαρτι,
τὴν Ἀντηνορίδης εἶχε κρείων Ἑλικάων,
Λαοδίκην Πριάμοιο θυγατρῶν Ϝεῖδος ἀρίστην.
τὴν δ' εὗρ' ἐν μεγάρῳ· ἣ δὲ μέγαν ἱστὸν ὕφαινεν,
δίπλακα πορφυρέην, πολέας δ' ἐνέπασσεν ἀέθλους
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
οὓς Ϝέθεν εἵνεκ' ἔπασχον ὑπ' Ἄρηος παλαμάων.
ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
„δεῦρ' ἴθι, νύμφα φίλη, ἵνα θέσκελα Ϝέργα Ϝίδηαι
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων.
οἳ πρὶν ἐπ' ἀλλήλοισι φέρον πολύδακρυν Ἄρηα
ἐν πεδίῳ, ὀλοοῖο λιλαιόμενοι πολέμοιο,
οἳ δὴ νῦν ἕαται σιγῇ — πόλεμος δὲ πέπαυται —
ἀσπίσι κεκλιμένοι, παρὰ δ' ἔγχεα μακρὰ πέπηγεν.
αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηίφιλος Μενέλαος
μακρῇς ἐγχείῃσι μαχήσονται περὶ σεῖο·
τῷ δέ κε νικήσαντι φίλη κεκλήσῃ ἄκοιτις."
ὣς Ϝειποῦσα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ

124 = *Ν* 365 127 = *Γ* 131. 251. *Θ* 71 129 = *Β* 790.

112 ***παύσεσθαι*** Bekker: ***παύσασθαι*** codd., cf. Naber quaest. hom. p. 101 116 *ἔπεμψε* C 119 *ἰδὲ Ϝάρν'* Bentley: *ἠδ' ἄρν'* codd. — ***ἐκέλευσεν*** CD 121 ***Τειχοσκοπίας*** carmen, carmini *Ὁρκίων* ut intexeretur destinatum, suo quoque talo stare potuit, cf. prol. § 4 126 ***πορφυρέην*** Zen. Aristoph. Ar.: ***μαρμαρέην*** ACD 134 fort. *τοὶ δὴ*, cf. Z 422.

ἀνδρός τε προτέρου καὶ Ϝάστεος ἠδὲ τοκήων. **6**
αὐτίκα δ' ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν 141
ὡρμᾶτ' ἐκ θαλάμοιο, τέρεν κατὰ δάκρυ χέϜουσα,
οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο.
[Αἴθρη Πιτθῆος θυγάτηρ Κλυμένη τε βοῶπις.]
αἶψα δ' ἔπειθ' ἵκανον ὅθι Σκαιαὶ πύλαι ἦσαν.
οἳ δ' ἀμφὶ Πρίαμον καὶ Πάνθοον ἠδὲ Θυμοίτην
Λάμπον τε Κλυτίον θ' Ἱκετάονά τ' ὄζον Ἄρηος,
Οὐκαλέγων τε καὶ Ἀντήνωρ, πεπνυμένω ἄμφω,
εἵατο δημογέροντες ἐπὶ Σκαιῇσι πύλῃσιν,
γήραϊ δὴ πολέμοιο πεπαυμένοι, ἀλλ' ἀγορηταὶ
ἐσθλοί, τεττίγεσσι ϜεϜοικότες, οἵ τε καθ' ὕλην
δένδρει ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσιν·
τοῖοι ἄρα Τρώων ἡγήτορες ἧντ' ἐπὶ πύργῳ.
οἳ δ' ὡς οὖν ἐϜίδονθ' Ἑλένην ἐπὶ πύργον ἰοῦσαν,
Ϝῆκα πρὸς ἀλλήλους Ϝέπεα πτερόεντ' ἀγόρευον·
„οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ϜέϜοικεν.
ἀλλὰ καὶ ὥς, τοίη περ ἐοῦσ', ἐν νηυσὶ νεέσθω,
μηδ' ἡμῖν τεκέεσσι τ' ὀπίσσω πῆμα λίποιτο."
ὣς ἄρ' ἔφαν, Πρίαμος δ' Ἑλένην ἐκαλέσσατο φωνῇ·
„δεῦρο πάροιθ' ἐλθοῦσα, φίλον τέκος, ἵζευ ἐμεῖο,
ὄφρα Ϝίδῃ πρότερόν τε πόσιν πηούς τε φίλους τε·
οὔ τί μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσιν,
οἵ μοι ἐφώρμησαν πόλεμον πολύδακρυν Ἀχαιῶν·
ὥς μοι καὶ τόνδ' ἄνδρα πελώριον ἐξονομήνῃς,
ὅς τις ὅδ' ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠύς τε μέγας τε.
ἦ τοι μὲν κεφαλῇ καὶ μείζονες ἄλλοι ἔασιν·
καλὸν δ' οὕτω ἐγὼν οὔ πω Ϝίδον ὀφθαλμοῖσιν,
οὐδ' οὕτω γεραρόν· βασιλῆι γὰρ ἀνδρὶ ϜέϜοικεν."
τὸν δ' Ἑλένη μύθοισιν ἀμείβετο, δῖα γυναικῶν·
„αἰδοῖός τέ μοί ἐσσι, φίλε Ϝεκυρέ, δϜεινός τε·

143 = *α* 331. *σ* 207, cf. *Β* 822. *Λ* 413 147 = *Υ* 238 155 = *Ω* 142. *Ε* 274 167^b = *Γ* 226. *Λ* 221.

140 ***προτέροιο*** codd. 144 *ἀθετεῖται* schol. A 147 ex *Υ* 238 illatum suspicatur Friedlaender Jahrb. f. Phil. Suppl. III 821 152 ***δένδρει*** Zen.: *δενδρέῳ* ACD Ar. 155 *ἧκα*: *ὦκα* Zen. 163 *ἴδῃς* C.

ὡc ὄφελεν θάνατόc μοι ἁδεῖν κακόc, ὁππότε δεῦρο 6
υἱέϊ cῷ ἑπόμην, θάλαμον γνωτούc τε λιποῦcα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά γ᾽ οὐκ ἐγένοντο· τὸ καὶ κλαίουcα τέτηκα.
τοῦτο δέ τοι Fερέω, ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷc.
οὗτόc γ᾽ Ἀτρεΐδηc εὐρυκρείων Ἀγαμέμνων,
ἀμφότερον βαcιλεύc τ᾽ ἀγαθὸc κρατερόc τ᾽ αἰχμητήc.
δαὴρ αὖτ᾽ ἐμὸc ἔcκε κυνώπιδοc, εἴ ποτ᾽ ἔην γε."
ὣc φάτο, τὸν δ᾽ ὁ γέρων ἠγάccατο, φώνηcέν τε·
„ὦ μάκαρ Ἀτρεΐδη, μοιρηγενέc, ὀλβιόδαιμον,
ἦ ῥά νύ τοι πολλοὶ δεδμήαται υἷεc Ἀχαιῶν,
ἤδη καὶ Φρυγίην εἰcήλυθον ἀμπελόεccαν,
ἔνθα Fίδον πλείcτουc Φρύγαc ἀνέραc, αἰολοπώλουc,
λαοὺc Ὀτρῆοc καὶ Μυγδόνοc ἀντιθέοιο,
οἵ ῥα τότ᾽ ἐcτρατόοντο παρ᾽ ὄχθαc Cαγγαρίοιο·
καὶ γὰρ ἐγὼν ἐπίκουροc ἐὼν μετὰ τοῖcιν ἐλέχθην
ἤματι τῷ, ὅτε τ᾽ ἦλθον Ἀμαζόνεc ἀντιάνειραι·
ἀλλ᾽ οὐδ᾽ οἳ τόcοι ἦcαν ὅcοι Fελίκωπεc Ἀχαιοί."
δεύτερον αὖτ᾽ Ὀδυcῆα Fιδὼν ἐρέειν᾽ ὁ γεραιόc·
„Fείπ᾽ ἄγε μοι καὶ τόνδε, φίλον τέκοc, ὅc τιc ὅδ᾽ ἐcτίν·
μείων μὲν κεφαλῇ Ἀγαμέμνονοc Ἀτρεΐδαο,
εὐρύτεροc δ᾽ ὤμοιcιν ἰδὲ cτέρνοιcι Fιδέcθαι.
τεύχεα μέν Fοι κεῖται ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὸc δὲ κτίλοc ὣc ἐπιπωλεῖται cτίχαc ἀνδρῶν.
ἀρνειῷ μιν ἔγωγε FεFίcκω πηγεcιμάλλῳ,
ὅc τ᾽ οἰών μέγα πῶυ διέρχεται ἀργεννάων."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειθ᾽ Ἑλένη Διὸc ἐκγεγαυῖα·
„οὗτοc δ᾽ αὖ Λαερτιάδηc πολύμητιc Ὀδυccεύc,
ὃc τράφεν ἐν δήμῳ Ἰθάκηc κραναῆc περ ἐούcηc
Fειδὼc παντοίουc τε δόλουc καὶ μήδεα πυκνά."

177 = η 243 180^{b} = Λ 762. Ω 226 . . 190^{b} = Λ 389
196^{b} = Δ 231. Λ 264 198^{a} = Λ 696.

173 *μοι ἁδεῖν* AC *μοι ἄδδειν* D *με Fαδεῖν* Bentley *με ἑλεῖν* Nauck *με λαβεῖν* Naber 176 *τά γ᾽*: *γρ. τά κ᾽* schol. A 180 *εἴ*: *ἦ* coni. Nauck 183 *δεδμήαται υἷες Ἀχ.* Barnes: *δεδμήατο κοῦροι Ἀχ.* codd., quam lectionem defendebat Wolf praef. p. 76 187 *ἐστρατόωντο* codd., cf. prol. p. 176 188 *ἐλέγμην* Strabo XII 552 et XIV 681 193 *κεφαλὴν* Ar. 198 *ὀFίων* veteris huius carminis auctorem pronuntiasse sentio, cf. X 101 et prol. p. 169 201 *τράφεν* Buttmann Gr. Gr. II 307: *τράφη* codd.

τὴν δ᾽ αὖτ᾽ Ἀντήνωρ πεπνυμένοc ἀντίον ηὔδα· 6
„ὦ γύναι, ἦ μάλα τοῦτο Fέποc νημερτὲc ἔFειπεc·
ἤδη γὰρ καὶ δεῦρό ποτ᾽ ἤλυθε δῖοc Ὀδυccεύc
cεῖ᾽ ἕνεκ᾽ ἀγγελίην, cὺν ἀρηιφίλῳ Μενελάῳ.
τοὺc δ᾽ ἐγὼ ἐξείνιccα καὶ ἐν μεγάροιcι φίληcα,
ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά.
ἀλλ᾽ ὅτε δὴ Τρώεccιν ἐν ἀγρομένοιcιν ἔμιχθεν,
cτάντων μὲν Μενέλαοc ὑπείρεχεν εὐρέαc ὤμουc,
ἄμφω δ᾽ ἑζομένω γεραρώτεροc ἦεν Ὀδυccεύc.
ἀλλ᾽ ὅτε δὴ μύθουc καὶ μήδεα πᾶcιν ὕφαινον,
ἤ τοι μὲν Μενέλαοc ἐπιτροχάδην ἀγόρευεν,
παῦρα μέν, ἀλλὰ μάλα λιγέωc, ἐπεὶ οὐ πολύμυθοc
οὐδ᾽ ἀφαμαρτοFεπήc· ἦ καὶ γένει ὕcτεροc ἦεν.
ἀλλ᾽ ὅτε δὴ πολύμητιc ἀναΐξειεν Ὀδυccεύc,
cτάcκεν, ὑπαὶ δὲ Fίδεcκε κατὰ χθονὸc ὄμματα πήξαc,
cκῆπτρον δ᾽ οὔτ᾽ ὀπίcω οὔτε προπρηνὲc ἐνώμα,
ἀλλ᾽ ἀcτεμφὲc ἔχεcκεν, ἀFίδρεϊ φωτὶ FεFοικώc·
φαίηc κε ζάκοτόν τέ τιν᾽ ἔμμεναι ἄφρονά τ᾽ αὔτωc.
ἀλλ᾽ ὅτε δὴ ὄπα τε μεγάλην ἐκ cτήθεοc εἵη
καὶ Fέπεα νιφάδεccι FεFοικότα χειμερίῃcιν,
οὐκ ἂν ἔπειτ᾽ Ὀδυcῆί γ᾽ ἐρίccειε βροτὸc ἄλλοc.
[οὐ τότε γ᾽ ὧδ᾽ Ὀδυcῆοc ἀγαccάμεθ᾽ εἶδοc ἰδόντεc."]
τὸ τρίτον αὖτ᾽ Αἴαντα Fιδὼν ἐρέειν᾽ ὁ γεραιόc·
„τίc τ᾽ ἄρ᾽ ὅδ᾽ ἄλλοc Ἀχαιὸc ἀνὴρ ἠύc τε μέγαc τε,
ἔξοχοc Ἀργείων κεφαλήν τε καὶ εὐρέαc ὤμουc;"
τὸν δ᾽ Ἑλένη τανύπεπλοc ἀμείβετο, δῖα γυναικῶν·
„οὗτοc δ᾽ Αἴαc ἐcτὶ πελώριοc, ἕρκοc Ἀχαιῶν.
Ἰδομενεὺc δ᾽ ἑτέρωθεν ἐνὶ Κρήτεccι θεὸc ὣc
ἕcτηκ᾽, ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνιccεν ἀρηίφιλοc Μενέλαοc

203 = Λ 822.

206 *σεῖ᾽* Lugebil: *σεῦ* codd. *σῆς* Zen. — *ἀγγελίην* Bentley collato Λ 140: *ἀγγελίης* codd., cf. *N* 252. *O* 640 207 *τούσδε δ᾽ ἐγὼ ξειν.* Cobet misc. crit. 421 210 *στάντες* Bentley 211 *ἑζομένων* D Zen., at vide *H* 306. *K* 224 212 *ἔφαινον* Casaubonus 215 *ἢ καὶ* A *εἰ καὶ* CD 219 *ἀίδρι* D man. pr. 220 *κεν ἄκοτον* coni. A. Spengel in Phil. XXIII 549 221 *δή ῥ᾽* Heyne — *ἵει* C 224 rhapsodi pannum esse perspexit Heyne 225 *τίς γὰρ* Trypho apud Apoll. de coni. 506, 32 227 *τε καὶ* Aristoph. Ar.: *ἠδ᾽* codd. 231 *ἠγερέθοντο* D.

Fοίκῳ ἐν ἡμετέρῳ, ὁπότε Κρήτηθεν ἵκοιτο. 6
νῦν δ' ἄλλους μὲν πάντας ὁρῶ ϝελίκωπας Ἀχαιούς,
οὕς κεν ἐὺ γνοίην καί τ' οὔνομα μυθησαίμην·
δοιὼ δ' οὐ δύναμαι Fιδέειν κοσμήτορε λαῶν,
Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ.
ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς;
ἢ δεύρω μὲν ἕποντο νέεσσ' ἔνι ποντοπόροισιν,
νῦν αὖτ' οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν,
αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ' ἅ μοί ἐστιν;"
ὣς φάτο, τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα
ἐν Λακεδαίμονι αὖθι, φίλῃ ἐν πατρίδι γαίῃ.

κήρυκες δ' ἀνὰ Fάστυ θεῶν φέρον ὅρκια πιστά, Γ
Fάρνε δύω καὶ Fοῖνον ἐύφρονα, καρπὸν ἀρούρης,
ἀσκῷ ἐν αἰγείῳ. φέρε δὲ κρητῆρα φαεινὸν
κῆρυξ Ἰδαῖος ἠδὲ χρύσεια κύπελλα·
ὤτρυνεν δὲ γέροντα παριστάμενος Fεπέεσσιν·
„ὄρσεο, Λαομεδοντιάδη· καλέουσιν ἄριστοι
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων
ἐς πεδίον καταβῆναι, ἵν' ὅρκια πιστὰ τάμητε.
αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηίφιλος Μενέλαος
μακρῇς ἐγχείῃσι μαχήσοντ' ἀμφὶ γυναικί·
τῷ δέ κε νικήσαντι γυνὴ καὶ κτήμαθ' ἕποιτο·
οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
ναίοιμεν Τροίην ἐριβώλακα, τοὶ δὲ νέονται
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιίδα καλλιγύναικα."
ὣς φάτο, ῥίγησεν δ' ὁ γέρων, ἐκέλευσε δ' ἑταίρους
ἵππους ζευγνύμεναι· τοὶ δ' ὀτραλέως ἐπίθοντο.
ἂν δ' ἄρ' ἔβη Πρίαμος, κατὰ δ' ἡνία τεῖνεν ὀπίσσω·

237—43 = λ 300—1 238 = T 293 244^b = B 140 251 = 127 253—5 = 136—8.

235 *καὶ τοὔνομα* C 236 *ἰδέειν* codd., *Fιδέμεν* et similia hic et in omnibus veteribus carminibus scribendum esse monui prol. p. 146 237 *ἱπποδάμον* rectius scribas *παραδόσεως* errore expulso — *Πολυδεύκεα* AD: *Πολυδεύκην* C, vide prol. § 104 240 *δεύρω* ACD: *δεῦρο* codd. dett. 241 *νῦν δ' αὖτ'* C 244 *φίλῃ*: *ἑῇ* Zen. — *ἐνὶ* Clemens Alex. protr. II 26 252 *τάμηαι* D 259 *ἑταίρους* GLS: *ἑταίροις* CD Zen. Ar. *ἑτέροις* A *ἑταίρους* alios legisse significat schol. A.

πὰρ δέ Fοι Ἀντήνωρ περικαλλέα βήσετο δίφρον. 5
τὼ δὲ διὰ Σκαιῶν πεδίονδ' ἔχον ὠκέας ἵππους.
ἀλλ' ὅτε δή ῥ' ἵκοντο μετὰ Τρῶας καὶ Ἀχαιούς,
ἐξ ἵππων ἀποβάντες ἐπὶ χθόνα πουλυβότειραν
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο.
ὤρνυτο δ' αὐτίκ' ἔπειτα Fάναξ ἀνδρῶν Ἀγαμέμνων,
ἂν δ' Ὀδυσεὺς πολύμητις. ἀτὰρ κήρυκες ἀγαυοὶ
ὅρκια πιστὰ θεῶν σύναγον, κρητῆρι δὲ Fοῖνον
μίσγον, ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευον.
Ἀτρεΐδης δὲ Fερυσσάμενος χείρεσσι μάχαιραν,
ἥ Fοι πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄορτο,
Fαρνῶν ἐκ κεφαλέων τάμνε τρίχας· αὐτὰρ ἔπειτα
κήρυκες Τρώων καὶ Ἀχαιῶν νεῖμαν ἀρίστοις,
τοῖσιν δ' Ἀτρεΐδης μεγάλ' εὔχετο χεῖρας ἀνασχών·
„Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
Ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις,
καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἳ ὑπένερθε καμόντας
ἀνθρώπους τίνυσθον, ὅ τίς κ' ἐπίορκον ὀμόσσῃ,
ὑμεῖς μάρτυροι ἔστε, φυλάσσετε δ' ὅρκια πιστά.
εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ,
αὐτὸς ἔπειθ' Ἑλένην ἐχέτω καὶ κτήματα πάντα,
ἡμεῖς δ' ἐν νήεσσι νεώμεθα ποντοπόροισιν·
εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ ξανθὸς Μενέλαος,
Τρῶας ἔπειθ' Ἑλένην καὶ κτήματα πάντ' ἀποδοῦναι,
τιμὴν δ' Ἀργείοις ἀποτινέμεν, ἥν τε FέFοικεν,
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται.
εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες
τίνειν οὐκ ἐθέλωσιν Ἀλεξάνδροιο πεσόντος,
αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήσομαι εἵνεκα ποινῆς

263^b = Λ 760 265 = Λ 619 271—2 = T 252—3 275 = Α 450 276 = Γ 320. Η 202. Ω 308, cf. B 412 279 = T 260.

262 *βήσατο* C et γρ. A 270 *ἔχευον* C Ar. et γρ. A: *ἔχευαν* AD 272 *ἄορτο* D: *ἄωρτο* AC secundum praeceptum Herodiani, cf. prol. p. 107 273 *ἀρνέων* Zen. 274 *νεῖμαν ἀγοῖσιν* coni. Nauck 276 *Ζεῦ κύδιστε μέγιστε κελαινεφὲς αἰθέρι ναίων* (= B 412) Heraclitus alleg. Hom. c. 3 et 23, Anon. de barb. p. 198 Valck. 279 *τίνυσθον* ACD Ar., alii *τίνυσθε* legisse videntur — *ὅστις κ'* CD 280 *μάρτυρες* Zen., cf. B 302 283 om. C 286 *τιμήν τ'* D — *ἥν τε* Heyne: *ἥν τιν'* codd. 290 *μαχήσομαι* ACD Ar.

αὖθι μένων, εἷος κε τέλος πολέμοιο κιχείω."
ἦ, καὶ ἀπὸ στομάχους Ϝαρνῶν τάμε νηλέι χαλκῷ.
καὶ τοὺς μὲν κατέθηκεν ἐπὶ χθονὸς ἀσπαίροντας
θυμοῦ δευομένους· ἀπὸ γὰρ μένος εἵλετο χαλκός·
Ϝοῖνον δ' ἐκ κρητῆρος ἀφυσσόμενοι δεπάεσσιν
ἔκχεϜον, ἠδ' εὔχοντο θεοῖς αἰειγενέτῃσιν.
ὧδε δέ τις Ϝείπεσκεν Ἀχαιῶν τε Τρώων τε·
„Ζεῦ κύδιστε μέγιστε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν,
ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέϜοι ὡς ὅδε Ϝοῖνος,
αὐτῶν καὶ τεκέων, ἄλοχοι δ' ἄλλοισι δαμεῖεν."
ὣς ἔφαν, οὐδ' ἄρα πώ σφιν ἐπεκραίαινε Κρονίων.
τοῖσι δὲ Δαρδανίδης Πρίαμος μετὰ μῦθον ἔϜειπεν·
„κέκλυτέ μευ, Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοί.
ἦ τοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεσσαν
ἄψ, ἐπεὶ οὔ πω τλήσομ' ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι
μαρνάμενον φίλον υἱὸν ἀρηιφίλῳ Μενελάῳ·
Ζεὺς μέν που τό γε Ϝοῖδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν."
ἦ ῥα, καὶ ἐς δίφρον Ϝάρνας θέτο Ϝισόθεος φώς,
ἂν δ' ἄρ' ἔβαιν' αὐτός, κατὰ δ' ἡνία τεῖνεν ὀπίσσω·
πὰρ δέ Ϝοι Ἀντήνωρ περικαλλέα βήσετο δίφρον.
τὼ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο·
Ἕκτωρ δὲ Πριάμοιο πάις καὶ δῖος Ὀδυσσεύς
χῶρον μὲν πρῶτον διεμέτρεον, αὐτὰρ ἔπειτα
κλήρους ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες,
ὁππότερος δὴ πρόσθεν ἀφείη χάλκεον ἔγχος.
λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον·
ὧδε δέ τις Ϝείπεσκεν Ἀχαιῶν τε Τρώων τε·
„Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
ὁππότερος τάδε Ϝέργα μετ' ἀμφοτέροισιν ἔθηκεν,
τὸν δὸς ἀποφθίμενον δῦναι δόμον Ἄιδος εἴσω,
ἡμῖν δ' αὖ φιλότητα καὶ ὅρκια πιστὰ γενέσθαι."

292 = *Τ* 266 302 = *Β* 419 311—2 = 261—2 313 = *Ω* 330 316 = *Ψ* 861. *κ* 206 318—9 = *Η* 177—8 320 = 276.

291 *εἷως* codd. 292 *ἀπὸ*: *γρ.* *ἐπὶ* schol. A 295 *ἀφυσσόμενοι* C et *γρ.* A et Ar.: *ἀφυσσάμενοι* AD 301 *δαμεῖεν* A: *μιγεῖεν* CD et *γρ.* Eust. 308 *τό γε* AC: *τόδε* D 312 *βήσατο* C 318 *θεοῖς ἴδε* C Nicanor.

ὣς ἄρ' ἔφαν, πάλλεν δὲ μέγας κορυθαίολος Ἕκτωρ
ἂψ ὁρόων· Πάριος δὲ θοῶς ἐκ κλῆρος ὄρουσεν.
οἳ μὲν ἔπειθ' ἵζοντο κατὰ στίχας, ἧχι Ϝεκάστῳ
ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔκειτο·
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισιν ἐδύσετο τεύχεα καλά
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο.
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκεν
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν
Ϝοῖο κασιγνήτοιο Λυκάονος, ἥρμοσε δ' αὐτῷ.
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε.
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην ἐύτυκτον ἔθηκεν,
ἵππουριν· δϜεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ Ϝοι παλάμηφιν ἀρήρει.
ὣς δ' αὔτως Μενέλαος ἀρήιος ἔντε' ἔδυνεν.
οἳ δ' ἐπεὶ οὖν Ϝεκάτερθεν ὁμίλου θωρήχθησαν,
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο
δϜεινὸν δερκόμενοι· θάμβος δ' ἔχεν εἰσορόωντας
Τρῶάς θ' ἱπποδάμους καὶ ἐυκνήμιδας Ἀχαιούς.
καί ῥ' ἐγγὺς στήτην διαμετρητῷ ἐνὶ χώρῳ
σείοντ' ἐγχείας, ἀλλήλοισιν κοτέοντε.
πρόσθε δ' Ἀλέξανδρος προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Ἀτρεΐδαο κατ' ἀσπίδα πάντοσ' ἐϜίσην·
οὐδ' ἔϜρηξεν χαλκός, ἀνεγνάμφθη δέ Ϝοι αἰχμή

324 = *Η* 181 326b = *Λ* 76 329 = *Θ* 82. *Λ* 500. *Ν* 766 330—2 = *Λ* 17—19 330—8 = *Π* 131—9. *Τ* 369—74 334 = *Β* 45 336—8 = *Ο* 480—2. *χ* 123—6 337 = *Λ* 42. *Π* 138 338 = *ϱ* 4 340 = *Ψ* 813 341 = 266 342—3 = *Δ* 79—80, cf. *Γ* 251 347 = *Γ* 356. *Η* 250. *Ρ* 517. *Υ* 274 348—50 = *Ρ* 44—6 348 = *Η* 259.

326 *ἑκάστου* Ar. 327 *ἔκειντο* C 328 *ἐδύσατο* CD 329 *Ϝελένης* Homerum pronuntiasse ex hoc loco et *Λ* 369. 505. *Χ* 114 collegit Osc. Meyer quaest. hom. 22 330—8 interpolati aut male ex *Π* 131—8 repetiti esse videntur, nisi praecedentia verba sic corrigere velis *αὐτὰρ Ἀλέξανδρος ἐκορύσσετο νώροπα χαλκόν* 334—5 damnat Zen. 338 *γρ.* *ἔγχος ἀκαχμένον ὀξέι χαλκῷ* (= *Κ* 135. *Ο* 481) schol. A — post 338 Zen. addidit *ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετ' ἀσπίδα τερσανόεσσαν* 340 fort. *ὁμίλοο*, cf. prol. § 65 343 eiecit Koechly 348 *χαλκός* A Ar.: *χαλκὸν* C et D m. pr. — *ἀνεκάμφθη* D.

ἀςπίδ᾽ ἐνὶ κρατερῇ. ὃ δὲ δεύτερος ὤρνυτο χαλκῷ
Ἀτρεΐδης Μενέλαος, ἐπευξάμενος Διὶ πατρί·
„Ζεῦ Fάνα, δὸς τίςαςθαι ὅ με πρότερος κάκ᾽ ἔοργεν,
δῖον Ἀλέξανδρον, καὶ ἐμῆς ὑπὸ χερςὶ δάμαςςον,
ὄφρα τις ἐρρίγηςι καὶ ὀψιγόνων ἀνθρώπων
ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράςχῃ.“
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόςκιον ἔγχος,
καὶ βάλε Πριαμίδαο κατ᾽ ἀςπίδα πάντος᾽ ἐFίςην.
διὰ μὲν ἀςπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειςτο·
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμηςε χιτῶνα
ἔγχος· ὃ δ᾽ ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
Ἀτρεΐδης δὲ Fερυςςάμενος ξίφος ἀργυρόηλον
πλῆξεν ἀναςχόμενος κόρυθος φάλον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ
τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεςε χειρός.
Ἀτρεΐδης δ᾽ ᾤμωξε Fιδὼν εἰς οὐρανὸν εὐρύν·
„Ζεῦ πάτερ, οὔ τις ςεῖο θεῶν ὀλοώτερος ἄλλος.
ἦ τ᾽ ἐφάμην τίςεςθαι Ἀλέξανδρον κακότητος·
νῦν δέ μοι ἐν χείρεςςι Fάγη ξίφος, ἐκ δέ μοι ἔγχος
ἠίχθη παλάμηφι Fετώςιον, οὐδὲ δάμαςςα.“
ἦ, καὶ ἐπαΐξας κόρυθος λάβεν ἱπποδαςείης,
ἕλκε δ᾽ ἐπιςτρέψας μετ᾽ ἐυκνήμιδας Ἀχαιούς·
ἄγχε δέ μιν πολύκεςτος ἱμὰς ἁπαλὴν ὑπὸ δειρήν,
ὅς Fοι ὑπ᾽ ἀνθερεῶνος ὀχεὺς τέτατο τρυφαλείης.
καί νύ κεν εἴρυςςέν τε καὶ ἄςπετον ἤρετο κῦδος,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόηςε Διὸς θυγάτηρ Ἀφροδίτη,
ἥ Fοι Fρῆξεν ἱμάντα βοὸς Fῖφι κταμένοιο·

355—6 = *P* 516—7 355 = *E* 280. *H* 244. *Λ* 349 . . 356 = 347 357—8 = *H* 251—2. *Λ* 435—6, cf. *Δ* 135—6 360 = *H* 254 361 = *N* 610 364 = *Φ* 272 365 = *υ* 201. *Ψ* 439 367 cf. *Π* 801 373 = *Σ* 165 374 = *E* 312.

349 *ἀσπίδ᾽ ἐνὶ* codd. dett.: *ἀσπίδι ἐν* ACD et hic et *P* 45, sed vide *H* 272 351 *κάκ᾽ ἔρεξεν* Cobet misc. crit. 404 352 *ἀθετεῖται* schol. A — *δαμῆναι* Ar. 354 *ὅς κεν* D 357 *ὄμβριμον* C et sic fere, quam scripturam noviciam et a Byzantinis scribis invectam esse docet W. C. Kayser in Philol. XVIII 655 359 *παραὶ* AC: *παρὰ* D, cf. *H* 253 362 *αὐτῇ* Ar. 364 *οὐρανὸν αἰπύν* Zen. 366 *τίσεσθαι* Cobet misc. crit. 328: *τίσασθαι* ACD, cf. *Γ* 112 368 *οὐδ᾽ ἐδάμασσα* Ammonius 373 *ἐξείρυσσε καὶ* Aristoph. — *ἤρετο* Cobet misc. crit. 401: *ἤρατο* codd.

κεινὴ δὲ τρυφάλεια ἅμ᾽ ἕςπετο χειρὶ παχείῃ.
τὴν μὲν ἔπειθ᾽ ἥρως μετ᾽ ἐυκνήμιδας Ἀχαιούς
Fρῖψ᾽ ἐπιδινήςας, κόμιςαν δ᾽ ἐρίFηρες ἑταῖροι·
αὐτὰρ ὃ ἂψ ἐπόρουςε κατακτάμεναι μενεαίνων
ἔγχεϊ χαλκείῳ. τὸν δ᾽ ἐξήρπαξ᾽ Ἀφροδίτη
ῥεῖα μάλ᾽ ὥς τε θεός, ἐκάλυψε δ᾽ ἄρ᾽ ἠέρι πολλῇ,
κὰθ᾽ δ᾽ εἷς᾽ ἐν θαλάμῳ εὐώδεϊ κηώεντι.
αὐτὴ δ᾽ αὖθ᾽ Ἑλένην καλέους᾽ ἴε. τὴν δ᾽ ἐκίχανεν
πύργῳ ἐφ᾽ ὑψηλῷ, περὶ δὲ Τρῳαὶ Fάλις ἦςαν.
χειρὶ δὲ νεκταρέου Fεανοῦ ἐτίναξε λαβοῦςα,
γρηὶ δέ μιν FεFικυῖα παλαιγενέι προςέFειπεν,
εἰροκόμῳ, ἥ Fοι Λακεδαίμονι ναιεταώςῃ
ἤςκειν εἴρια καλά, μάλιςτα δέ μιν φιλέεςκεν.
τῇ μιν Fειςαμένη προςεφώνεε δῖ᾽ Ἀφροδίτη·
„δεῦρ᾽ ἴθ᾽· Ἀλέξανδρός ςε καλεῖ Fοῖκόνδε νέεςθαι.
κεῖνος ὅ γ᾽ ἐν θαλάμῳ καὶ δινωτοῖςι λέχεςςιν,
κάλλεΐ τε ςτίλβων καὶ Fείμαςιν· οὐδέ κε φαίης
ἀνδρὶ μαχηςάμενον τόν γ᾽ ἐλθεῖν, ἀλλὰ χορόνδε
ἔρχεςθ᾽ ἠὲ χοροῖο νέον λήγοντα καθίζειν.“
ὣς φάτο, τῇ δ᾽ ἄρα θυμὸν ἐνὶ ςτήθεςςιν ὄρινεν.
καί ῥ᾽ ὡς οὖν ἐνόηςε θεᾶς περικαλλέα δειρήν
ςτήθεά θ᾽ ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα,
θάμβηςέν τ᾽ ἄρ᾽ ἔπειτα, Fέπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζεν·
„δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πῄ με προτέρω πολίων εὖ ναιομενάων
ἄξεις ἢ Φρυγίης ἢ Μῃονίης ἐρατεινῆς,
εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
νικήςας ἐθέλει ςτυγερὴν ἐμὲ Fοίκαδ᾽ ἄγεςθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουςα παρέςτης;
ἧςο παρ᾽ αὐτὸν ἰοῦςα, θεῶν δ᾽ ἀπόFεικε κελεύθου,

380—1 = *Υ* 444—5 381 = *Λ* 752 395 = *B* 142 401 = *Σ* 291.

383—448 praeeunte Lachmanno eiecit Benicken 384 et 411 *Τρῳαὶ* ACD, sed 420 *Τρῳὰς* A 387 *ναιετοώσῃ* Ar., cf. La Roche Hom. Text. p. 310 388 *ἤσκει* D 389 *ἐεισαμένη* codd., cf. prol. p. 165 391 *δεινωτοῖσι* A 392 *καὶ ἀλείμμασιν* coni. Nauck 393 *μαχεσσάμε-νον* CD 396—416 *ἀθετοῦνται* schol. A 400 *γρ. προτέρων* Eust. 406 *ἀπόεικε κελεύθου* Ar.: *ἀπόειπε κελεύθους* codd.

μηδ᾽ ἔτι coῖcι πόδεccιν ὑποcτρέψειαc Ὄλυμπον,
ἀλλ᾽ αἰεὶ περὶ κεῖνον ὀίζυε καί Fε φύλαcce,
εἰc ὅ κέ c᾽ ἢ ἄλοχον ποιήcεται ἢ ὅ γε δούλην.
κεῖcε δ᾽ ἐγὼν οὐκ εἶμι — νεμεccητὸν δέ κεν εἴη —
κείνου πορcυνέουcα λέχοc· Τρῳαὶ δέ μ᾽ ὀπίccω
πᾶcαι μωμήcονται· ἔχω δ᾽ ἄχε᾽ ἄκριτα θυμῷ."
τὴν δὲ χολωcαμένη προcεφώνεε δῖ᾽ Ἀφροδίτη·
„μή μ᾽ ἔρεθε, cχετλίη, μὴ χωcαμένη cε μεθείω,
τὼc δέ c᾽ ἀπεχθήρω ὡc νῦν ἔκπαγλα φίληcα,
μέccῳ δ᾽ ἀμφοτέρων μητίcομαι ἔχθεα λυγρά,
Τρώων καὶ Δαναῶν, cὺ δέ κεν κακὸν οἶτον ὄληαι."
ὣc ἔφατ᾽, ἔδFειcεν δ᾽ Ἑλένη Διὸc ἐκγεγαυῖα,
βῆ δὲ καταcχομένη Fεανῷ ἀργῆτι φαεινῷ,
cιγῇ, πάcαc δὲ Τρῳὰc λάθεν· ἦρχε δὲ δαίμων.
αἳ δ᾽ ὅτ᾽ Ἀλεξάνδροιο δόμον περικαλλέ᾽ ἵκοντο,
ἀμφίπολοι μὲν ἔπειτα θοῶc ἐπὶ Fέργα τράποντο,
ἣ δ᾽ εἰc ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν.
τῇ δ᾽ ἄρα δίφρον ἑλοῦcα φιλομμειδὴc Ἀφροδίτη
ἀντί᾽ Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουcα·
ἔνθα καθῖζ᾽ Ἑλένη κούρη Διὸc αἰγιόχοιο,
ὄccε πάλιν κλίναcα, πόcιν δ᾽ ἠνίπαπε μύθῳ·
„ἤλυθεc ἐκ πολέμου· ὡc ὤφελεc αὐτόθ᾽ ὀλέcθαι,
ἀνδρὶ δαμεὶc κρατερῷ, ὃc ἐμὸc πρότεροc πόcιc ἦεν.
ἦ μὲν δὴ πρίν γ᾽ εὔχε᾽ ἀρηιφίλου Μενελάου
cῇ τε βίῃ καὶ χερcὶ καὶ ἔγχεϊ φέρτεροc εἶναι·
ἀλλ᾽ ἴθι νῦν προκάλεccαι ἀρηίφιλον Μενέλαον
ἐξαῦτιc μαχέcαcθαι ἐναντίον. ἀλλά c᾽ ἔγωγε
παύεcθαι κέλομαι, μηδὲ ξανθῷ Μενελάῳ
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεcθαι
ἀφραδέωc, μή πωc τάχ᾽ ὑπ᾽ αὐτοῦ δουρὶ δαμείηc."

410ᵇ = Ξ 336. Ω 463. χ 489 412ᵇ = Ω 91 416ᵃ = Η 277.

409 *ἀθετεῖται* schol. ad δ 12 411 *κείνῳ* Grashof — *πορσυνέουσα* C: *πορσανέουσα* AD Ar. 412 *ἀκριτόμυθα* D 415 *ἔκπαγλα φίλησα* Ar.: *ἔκπαγλ᾽ ἐφίλησα* ACD 416 *μέσσον* D, fort. *ΜΕΣΟΙ* i. e. *μὴ σοὶ* vel *σοὶ δὲ μετ᾽* — *ἔχθεα* A: *ἄχθεα* CD, utrumque Ar., *γρ. ἄλγεα* schol. A 417 del. Doederlein gloss. hom. III 2462 423—6 *αὐτὴ δ᾽ ἀντίον ἷζεν Ἀλέξανδροιο ἄνακτος* Zen. 424—6 *ἀθετοῦνται* anecd. Bekk. 737, 9 432—6 *ἀθετοῦνται* schol. A 434 *παύεσθαι* C Ar.: *παύσασθαι* AD 436 *δαμείῃς*: *δαμείης* CD *δαμασθῇς* A *δαμήῃς* Ar. ut videtur, cf. Η 72.

τὴν δὲ Πάριc μύθοιcιν ἀμειβόμενοc προcέFειπεν·
„μή με, γύναι, χαλεποῖcιν ὀνείδεcι θυμὸν ἔνιπτε.
νῦν μὲν γὰρ Μενέλαοc ἐνίκηcεν cὺν Ἀθήνῃ,
κεῖνον δ᾽ αὖτιc ἐγώ· παρὰ γὰρ θεοί εἰcι καὶ ἡμῖν.
ἀλλ᾽ ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντε·
οὐ γάρ πώ ποτέ μ᾽ ὧδέ γ᾽ ἔροc φρέναc ἀμφεκάλυψεν,
οὐδ᾽ ὅτε cε πρῶτον Λακεδαίμονοc ἐξ ἐρατεινῆc
ἔπλεFον ἁρπάξαc ἐν ποντοπόροιcι νέεccιν,
νήcῳ δ᾽ ἐν Κρανάῃ ἐμίγην φιλότητι καὶ εὐνῇ,
ὥc cεο νῦν ἔραμαι καί με γλυκὺc ἵμεροc αἱρεῖ."
ἦ ῥα, καὶ ἦρχε λέχοcδε κιών· ἅμα δ᾽ εἵπετ᾽ ἄκοιτιc.
τὼ μὲν ἄρ᾽ ἐν τρητοῖcι κατεύναcθεν λεχέεccιν,
Ἀτρεΐδηc δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα θηρὶ FεFοικώc,
εἴ που ἐcαθρήcειεν Ἀλέξανδρον θεοFειδέα,
ἀλλ᾽ οὔ τιc δύνατο Τρώων κλειτῶν τ᾽ ἐπικούρων
δεῖξαι Ἀλέξανδρον τότ᾽ ἀρηιφίλῳ Μενελάῳ.
οὐ μὲν γὰρ φιλότητί γ᾽ ἐκεύθανον, εἴ τιc ἴδοιτο·
Fῖcον γάρ cφιν πᾶcιν ἀπήχθετο κηρὶ μελαίνῃ.
τοῖcι δὲ καὶ μετέFειπε Fάναξ ἀνδρῶν Ἀγαμέμνων·
„κέκλυτέ μευ, Τρῶεc καὶ Δάρδανοι ἠδ᾽ ἐπίκουροι.
νίκη μὲν δὴ φαίνετ᾽ ἀρηιφίλου Μενελάου·
ὑμεῖc δ᾽ Ἀργείην Ἑλένην καὶ κτήμαθ᾽ ἅμ᾽ αὐτῇ
ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν ἥν τε FέFοικεν,
ἥ τε καὶ ἐccομένοιcι μετ᾽ ἀνθρώποιcι πέληται."
ὣc ἔφατ᾽ Ἀτρεΐδηc, ἐπὶ δ᾽ ᾔνεον ἄλλοι Ἀχαιοί.

441—2 = Ξ 314—5 449 = Ε 528 et Λ 546 451ᵇ = Λ 220 456 = Η 348. 368. Θ 497 460 = 287.

438 *μῦθον ἔνισπε* D 441 *εὐνηθέντες* D 442 *ἔρως* codd., *γρ. ὧδε φρένας ἔρος* Eust., cf. prol. p. 110 443 *πρότερον* C 445 *κραναῇ* A 447 *ἦρχε* Barnes: *ἄρχε* codd. 453 *ἐκύνθανον* aut *ἔκευθον ἂν* Naber quaest. hom. 100 — *εἴ τις ἴδοιτο* codd.: *εἴ κε Fίδοιντο* Bentley 459 *ἀποτινέμεν* codd. et Ar.: *ἀποτίνετον* Zen. *ἀποτίνετε* coni. La Roche 459 *ἥν τε*: *ἥν τιν᾽* codd., cf. Γ 286 460 seclusit Benicken.

ΟΡΚΙΩΝ ΣΥΓΧΥΣΙΣ

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο Δ
χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ cφιcι πότνια Ἥβη
νέκταρ ἐϜοινοχόει· τοὶ δὲ χρυσέοιcι δέπαccιν
δειδέχατ᾽ ἀλλήλουc, Τρώων πόλιν εἰcορόωντεc.
αὐτίκ᾽ ἐπειρᾶτο Κρονίδηc ἐρεθιζέμεν Ἥρην
κερτομίοιcι Ϝέπεccι παραβλήδην ἀγορεύων·
„δοιαὶ μὲν Μενελάῳ ἀρηγόνεc εἰcὶ θεάων,
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενηὶc Ἀθήνη.
ἀλλ᾽ ἤ τοι ταὶ νόcφι καθήμεναι εἰcορόωcαι
τέρπεcθον· τῷ δ᾽ αὖτε φιλομμειδὴc Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆραc ἀμύνει,
καὶ νῦν ἐξεcάωcεν ὀιόμενον θανέεcθαι.
ἀλλ᾽ ἤ τοι νίκη μὲν ἀρηιφίλου Μενελάου·
ἡμεῖc δὲ φραζώμεθ᾽ ὅπωc ἔcται τάδε Ϝέργα,
ἤ ῥ᾽ αὖτιc πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνήν
ὄρcομεν, ἦ φιλότητα μετ᾽ ἀμφοτέροιcι βάλωμεν.
εἰ δ᾽ αὖ πωc τόδε πᾶcι φίλον καὶ Ϝηδὺ γένοιτο,
ἦ τοι μὲν Ϝοικέοιτο πόλιc Πριάμοιο Ϝάνακτοc,
αὖτιc δ᾽ Ἀργείην Ἑλένην Μενέλαοc ἄγοιτο.“
ὣc ἔφαθ᾽, αἳ δ᾽ ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη.
πληcίαι αἵ γ᾽ ἥcθην, κακὰ δὲ Τρώεccι μεδέcθην.
ἦ τοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι Ϝεῖπεν,
cκυζομένη Διὶ πατρί, χόλοc δέ μιν ἄγριοc ᾕρει·
Ἥρη δ᾽ οὐκ ἔχαδε cτῆθοc χόλον, ἀλλὰ προcηύδα·
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϜειπεc.
πῶc ἐθέλειc ἅλιον θεῖναι πόνον ἠδ᾽ ἀτέλεcτον

1 = *Η* 443 8 = *Ε* 908 14 = *Ξ* 61. *Υ* 116. *ρ* 274 17ᵇ = *Π* 387
20—25 = *Θ* 457—62 25 = *Α* 552.

Librum *Δ* ab antecedente libro *Γ* umquam separatum fuisse negavimus prol. p. 46 — V. 3 *ἐῳνοχόει* codd. et Herodianus: *ἐνῳνοχόει* Zen. — *χρυσέοισι δέπασσι* Nauck: *χρυσέοις δεπάεσσιν* codd. hic et *Θ* 162. *Μ* 311, cf. prol. § 85 6 *κερτομίοις ἐπέεσσι* codd. 10 *φιλομειδής* C
17 *αὖ πως* Ar.: *αὔτως* ACD Aristoph. 18 *γένοιτο* codd. et Aristoph.: *πέλοιτο* Ar.

ἱδρόα θ᾽, ὃν ἵδρωcα μόγῳ, καμέτην δέ μοι ἵπποι
λαὸν ἀγειρούcῃ, Πριάμῳ κακὰ τοῖό τε παιcίν.
Ϝέρδ᾽· ἀτὰρ οὔ τοι πάντεc ἐπαινέομεν θεοὶ ἄλλοι.“
τὴν δὲ μέγ᾽ ὀχθήcαc προcέφη νεφεληγερέτα Ζεύc·
„δαιμονίη, τί νύ cε Πρίαμοc Πριάμοιό τε παῖδεc
τόccα κακὰ ῥέζουcιν, ὅ τ᾽ ἀcπερχὲc μενεαίνειc
Ἴλιον ἐξαλαπάξαι ἐυκτίμενον πτολίεθρον;
εἰ δὲ cύ γ᾽ εἰcελθοῦcα πύλαc καὶ τείχεα μακρά
ὠμὸν βεβρώθοιc Πρίαμον Πριάμοιό τε παῖδαc
ἄλλουc τε Τρῶαc, τότε κεν χόλον ἐξακέcαιο.
Ϝέρξον ὅπωc ἐθέλειc· μὴ τοῦτό γε νεῖκοc ὀπίccω
cοὶ καὶ ἐμοὶ μέγ᾽ ἔριcμα μετ᾽ ἀμφοτέροιcι γένηται.
ἄλλο δέ τοι Ϝερέω, cὺ δ᾽ ἐνὶ φρεcὶ βάλλεο cῇcιν·
ὁππότε κεν καὶ ἐγὼ μεμαὼc πόλιν ἐξαλαπάξαι
τὴν ἐθέλω, ὅθι τοι φίλοι ἀνέρεc ἐγγεγάαcιν,
μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ᾽ ἐᾶcαι.
καὶ γὰρ ἐγὼ cοὶ δῶκα Ϝεκὼν ἀϜέκοντί γε θυμῷ.
αἳ γὰρ ὑπ᾽ ἠελίῳ τε καὶ οὐρανῷ ἀcτερόεντι
ναιετάουcι πόληεc ἐπιχθονίων ἀνθρώπων,
τάων μοι περὶ κῆρι τιέcκετο Ἴλιοc ἱρή
καὶ Πρίαμοc καὶ λαὸc ἐυμμελίω Πριάμοιο.
οὐ γάρ μοί ποτε βωμὸc ἐδεύετο δαιτὸc ἐΐcηc,
λοιβῆc τε κνίcηc τε· τὸ γὰρ λάχομεν γέραc ἡμεῖc.“
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπιc πότνια Ἥρη·
„ἦ τοι ἐμοὶ τρεῖc μὲν πολὺ φίλταταί εἰcι πόληεc,
Ἄργοc τε Cπάρτη τε καὶ εὐρυάγυια Μυκήνη·
τὰc διαπέρcαι, ὅτ᾽ ἄν τοι ἀπέχθωνται περὶ κῆρι·
τάων οὔ τοι ἐγὼ πρόcθ᾽ ἵcταμαι οὐδὲ μεγαίρω.
[εἴ περ γὰρ φθονέω τε καὶ οὐκ εἰῶ διαπέρcαι,
οὐκ ἀνύω φθονέουc᾽, ἐπεὶ ἦ πολὺ φέρτεροc ἐccι.]
ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεcτον·
καὶ γὰρ ἐγὼ θεόc εἰμι, γένοc δέ μοι ἔνθεν ὅθεν cοί,

29 = *Π* 443. *Χ* 181 30 = *Α* 517 33 = *Θ* 288 39 = *Α* 297
47 = *Δ* 165. Ζ 449. *Θ* 552 48—9 = *Ω* 69—70 50 = *Α* 551.

27 *ἱδρῶ* codd. — *ἵππω* Cant. 33 *Ἴλιον*: *Ἰλίου* codd., vide *Β* 133
41 *ἐγγεγάασι* A: *ἐκγεγάασι* CD 43 *δῶκ᾽ ἀέκων* Trypho 45 *ναιετάωσι* D 47 *ἐϋμμελίωι* A 55—6 *ἀθετοῦνται* schol. A 56 *γρ. φέρτατος* A 58 *δ᾽ ἐμοὶ* Wolf, at vide Bekker Hom. Bl. I 221.

καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομήτης,
ἀμφότερον γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις
κέκλημαι, σὺ δὲ πᾶσι μετ᾽ ἀθανάτοισι Ϝανάσσεις.
ἀλλ᾽ ἤ τοι μὲν ταῦθ᾽ ὑποϜείξομεν ἀλλήλοισιν,
σοὶ μὲν ἐγώ, σὺ δ᾽ ἐμοί· ἐπὶ δ᾽ ἕψονται θεοὶ ἄλλοι
ἀθάνατοι. σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι
ἐλθεῖν ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν,
πειρᾶν δ᾽ ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιούς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.“
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
αὐτίκ᾽ Ἀθηναίην Ϝέπεα πτερόεντα προσηύδα·
„αἶψα μάλ᾽ ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιούς,
πειρᾶν δ᾽ ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιούς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.“
ὣς Ϝειπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξασα.
οἷον δ᾽ ἀστέρ᾽ ἔηκε Κρόνου παῖς ἀγκυλομήτεω,
ἢ ναύτῃσι τέρας ἠὲ στρατῷ εὐρέι λαῶν,
λαμπρόν· τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἵενται·
τῷ ϜεϜικυῖ᾽ ἤϊξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη,
κὰδ δ᾽ ἔθορ᾽ ἐς μέσσον. θάμβος δ᾽ ἔχεν εἰσορόωντας
Τρῶάς θ᾽ ἱπποδάμους καὶ ἐυκνήμιδας Ἀχαιούς.
ὧδε δέ τις Ϝείπεσκε Ϝιδὼν ἐς πλησίον ἄλλον·
„ἦ ῥ᾽ αὖτις πόλεμός τε κακὸς καὶ φύλοπις αἰνή
ἔσσεται, ἢ φιλότητα μετ᾽ ἀμφοτέροισι τίθησιν
Ζεύς, ὅς τ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.“
ὣς ἄρα τις Ϝείπεσκεν Ἀχαιῶν τε Τρώων τε.
ἡ δ᾽ ἀνδρὶ Ϝικέλη Τρώων κατεδύσεθ᾽ ὅμιλον,
Λαοδόκῳ Ἀντηνορίδῃ, κρατερῷ αἰχμητῇ,
Πάνδαρον ἀντίθεον διζημένη, εἴ που ἐφεύροι.
εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε

60—1 = *Σ* 365—6 65 = *Π* 256 68 = *Π* 458 69 = *Ε* 713. *Μ* 365. *Τ* 20. *Θ* 351 73 = *Τ* 349. *Χ* 186. 74 = *Β* 167 79—80 = *Γ* 342—3 81 = *Β* 271 82—3 cf. 15—6 83—4 = ω 475—6 84 = *Τ* 224 88—9 = *Ε* 168—9.

59 *ἀγκυλόμητις* coni. Nauck 62 *ἐπιείξομεν* Apoll. de synt. 123, 13 75 *ἀστέρ᾽ ἔηκε* Bentley: *ἀστέρα ἧκε* codd. 81—5 vexat Duentzer Hom. Abh. p. 250 86 *καταδύσεθ᾽* A: *κατεδύσαθ᾽* CD 88—9 *διζημένη, εὗρε δὲ τόνδε* Zen.

ἕστασθ᾽· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
λαῶν, οἵ Ϝοι ἕποντο ἀπ᾽ Αἰσήποιο ῥοάων.
ἀγχοῦ δ᾽ ἱσταμένη Ϝέπεα πτερόεντα προσηύδα·
„ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον;
τλαίης κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν,
πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρῳ βασιλῆι.
τοῦ κεν δὴ πάμπρωτα παρ᾽ ἀγλαὰ δῶρα φέροιο,
αἴ κε Ϝίδῃ Μενέλαον ἀρήιον Ἀτρέος υἱόν
σῷ βέλεϊ δμηθέντα πυρῆς ἐπιβάντ᾽ ἀλεγεινῆς.
ἀλλ᾽ ἄγ᾽ ὀίστευσον Μενελάου κυδαλίμοιο,
εὔχεο δ᾽ Ἀπόλλωνι λυκηγενέι κλυτοτόξῳ
Ϝαρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
Ϝοίκαδε νοστήσας ἱερῆς ἐς Ϝάστυ Ζελείης.“
ὣς φάτ᾽ Ἀθηναίη, τῷ δὲ φρένας ἄφρονι πεῖθεν.
αὐτίκ᾽ ἐσύλα τόξον ἐύξοον ἰξάλου αἰγός
ἀγρίου, ὅν ῥά ποτ᾽ αὐτὸς ὑπὸ στέρνοιο τυχήσας
πέτρης ἐκβαίνοντα, δεδεγμένος ἐν προδοκῇσιν,
βεβλήκει πρὸς στῆθος· ὁ δ᾽ ὕπτιος ἔμπεσε πέτρῃ.
τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει·
καὶ τὰ μὲν ἀσκήσας κεραοξόος ἤραρε τέκτων,
πᾶν δ᾽ εὖ λειήνας χρυσέην ἐπέθηκε κορώνην.
καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος, ποτὶ γαίῃ
ἀγκλίνας· πρόσθεν δὲ σάκεα σχέθον ἐσθλοὶ ἑταῖροι,
μὴ πρὶν ἀναΐξειαν ἀρήιοι υἷες Ἀχαιῶν,
πρὶν βλῆσθαι Μενέλαον ἀρήιον Ἀτρέος υἱόν.
αὐτὰρ ὁ σύλα πῶμα φαρέτρης, ἐκ δ᾽ ἕλετ᾽ ἰόν
ἀβλῆτα πτερόεντα, μελαινέων ἕρμ᾽ ὀδυνάων·
αἶψα δ᾽ ἐπὶ νευρῇ κατεκόσμεε πικρὸν ὀιστόν,
εὔχετο δ᾽ Ἀπόλλωνι λυκηγενέι κλυτοτόξῳ

92 = *Δ* 203. *Ν* 462. *Ξ* 356 . . . 102 = *Δ* 120. *Ψ* 804. 873 119—21 = 101—3.

92 *ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη* Lips. 94 *ἔπι προέμεν* Ar. 97 *πάρ᾽* codd. dett. 100—3 damnavit Koechly 102 *πρωτοτόκων* Et. Gud. 78, 58 103 et 121 *εἰς ἄστυ* codd. 105 et 106 *ἐσύλεε* Nauck 113 *πρὸ δέ Ϝοι σάκεα* coni. Menrad 115 *ἀρήιον ἀρχὸν Ἀχαιῶν* C, cf. *Δ* 195 117 *ἀθετεῖται* schol. A — *μελαινέων* A *μελαινάων* CD · *μελανάων* Apoll. Soph. 76, 32 — *ἕρμα* ex *ἕσμα* 'semen' ortum puto 118 *κατεκόσμεε* NS Cant.: *κατεκόσμει* ACD.

Fαρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
Fοίκαδε νοστήςας ἱερῆς ἐς Fάςτυ Ζελείης.
ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια·
νευρὴν μὲν μαζῷ πέλαςεν, τόξῳ δὲ cίδηρον.
αὐτὰρ ἐπεὶ δὴ κυκλοτερὲς μέγα τόξον ἔτεινεν,
λίγξε βιός, νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀιςτὸς
ὀξυβελής, καθ' ὅμιλον ἐπιπτέςθαι μενεαίνων.
οὐδὲ cέθεν, Μενέλαε, θεοὶ μάκαρες λελάθοντο
ἀθάνατοι, πρώτη δὲ Διὸς θυγάτηρ ἀγελείη,
ἥ τοι πρόςθε cτᾶςα βέλος ἐχεπευκὲς ἄμυνεν.
ἣ δὲ τόςον μὲν ἔFεργεν ἀπὸ χροός, ὡς ὅτε μήτηρ
παιδὸς ἐFέργῃ μυῖαν, ὃ Fηδέι λέξεται ὕπνῳ,
αὐτὴ δ' αὖτ' ἴθυνεν ὅθι ζωςτῆρος ὀχῆες
χρύςειοι ςύνεχον καὶ διπλόος ἤντετο θώρηξ.
ἐν δ' ἔπεςε ζωςτῆρι ἀρηρότι πικρὸς ὀιςτός·
διὰ μὲν ἂρ ζωςτῆρος ἐλήλατο δαιδαλέοιο,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειςτο
μίτρης θ', ἣν ἐφόρει ἔρυμα χροός, ἕρκος ἀκόντων,
ἥ Fοι πλεῖςτον ἔρυτο· διαπρὸ δ' ἐείςατο καὶ τῆς.
ἀκρότατον δ' ἄρ' ὀιςτὸς ἐπέγραψε χρόα φωτός·
αὐτίκα δ' ἔρρεFεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς.
ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ
Μῃονὶς ἠὲ Κάειρα, παρήιον ἔμμεναι ἵππῳ·
κεῖται δ' ἐν θαλάμῳ, πολέες τέ μιν ἠρήςαντο
ἱππῆες φορέειν· βαςιλῆι δὲ κεῖται ἄγαλμα,
ἀμφότερον κόςμος θ' ἵππῳ ἐλατῆρί τε κῦδος·
τοῖοί τοι, Μενέλαε, μιάνθην αἵματι μηροὶ
εὐφυέες κνῆμαί τε ἰδὲ ςφυρὰ κάλ' ὑπένερθεν.
ῥίγηςεν δ' ἄρ' ἔπειτα Fάναξ ἀνδρῶν Ἀγαμέμνων,

132—3 = *Υ* 414—5 136 = *Γ* 358 148 = *Λ* 254.

124 ante 123 collocavit Zen — 123 damnat Naber quaest hom. p. 60 129 *τοι* codd. et Ar., alii *σοι* legisse videntur 131 *ἐέργει* CD — ὃ Bentley: ὅθ' codd. 137 *ἔρυμα* codd. et Ar.: *ἔλυμα* Zen. et Aristoph. 138 *δὲ εἴσατο* codd., *δ' ἐείσατο* vel potius *ἐήσατο* scribi iussit Wackernagel in Bezz. Beitr. IV 270 139 *ἄρα χαλκὸς* Zen. 140 *ἀθετεῖται* schol. A 141 *ἐλέφαντα* codd. et Ar.: *γρ. ἐλεφαντὰ* schol. A 142 *γρ. Κάιρα* Eust. — *ἵππω* (an *ἵπποιν*?) Aristoph., unde *ἵππῳ* Bekker: *ἵππων* ACD et Ar., ut videtur, *ἵππον* Eust. 145 *ἵππων* D 146 *μιάνθεαν* coni. Nauck 147 *τ' ἠδὲ* hic et Z 469. *Θ* 162. *Κ* 573. *Μ* 311. *Ρ* 534. *Φ* 351. *Χ* 460 scripsit Heyne, *τε Fιδὲ* Bekker.

ὡς ἔFιδεν μέλαν αἷμα καταρρέFον ἐξ ὠτειλῆς,
ῥίγηςεν δὲ καὶ αὐτὸς ἀρηίφιλος Μενέλαος·
ὡς δὲ Fίδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας,
ἄψορρόν Fοι θυμὸς ἐνὶ ςτήθεςςιν ἀγέρθη.
τοῖς δὲ βαρὺ ςτενάχων μετέφη κρείων Ἀγαμέμνων,
χειρὸς ἔχων Μενέλαον· ἐπεςτενάχοντο δ' ἑταῖροι·
„φίλε καςίγνητε, θάνατόν νύ τοι ὅρκι' ἔταμνον,
οἶον προςτήςας πρὸ Ἀχαιῶν Τρωςὶ μάχεςθαι.
ὥς ς' ἔβαλον Τρῶες, κατὰ δ' ὅρκια πιςτὰ πάτηςαν.
οὐ μέν πως ἅλιον πέλει ὅρκιον αἷμά τε Fαρνῶν
[ςπονδαί τ' ἄκρητοι καὶ δεξιαί, ᾗς ἐπέπιθμεν.]
εἴ περ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεςςεν,
ἔκ δὲ καὶ ὀψὲ τελεῖ, ςύν τε μεγάλῳ ἀπέτιςαν,
ςὺν ςφῇςιν κεφαλῇςι γυναιξί τε καὶ τεκέεςςιν.
εὖ γὰρ ἐγὼ τόδε Fοῖδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔςςεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίω Πριάμοιο,
Ζεὺς δέ ςφι Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
αὐτὸς ἐπιςςείῃςιν ἐρεμνὴν αἰγίδα πᾶςιν
τῆςδ' ἀπάτης κοτέων. τὰ μὲν ἔςςεται οὐκ ἀτέλεςτα.
ἀλλά μοι αἰνὸν ἄχος ςέθεν ἔςςεται, ὦ Μενέλαε,
αἴ κε θάνῃς καὶ πότμον ἀναπλήςῃς βιότοιο.
καί κεν ἐλέγχιςτος πολυδίψιον Ἄργος ἱκοίμην·
αὐτίκα γὰρ μνήςονται Ἀχαιοὶ πατρίδος αἴης·
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωςὶ λίποιμεν
Ἀργείην Ἑλένην. ςέο δ' ὀςτέα πύςει ἄρουρα
κειμένου ἐν Τροίῃ ἀτελευτήτῳ ἐπὶ Fέργῳ.

154 cf. *Λ* 488 et *Χ* 429 159 = *Β* 341 163—5 = Ζ 447—9 165 = 47 173 = *Β* 160.

149 *ἀθετεῖται* schol. A 153 *τοῖς δὲ* ACD: *τὸν δὲ* LN, quo recepto versus 154 delendus erit — *προσέφη* C 157 *ὧς θαυμαστικὸν ἐπίρρημα* dicit Hesychius, virgulam post *μάχεσθαι* posuit Bekker — *σ'* om. D 158 *πέλοι* C 159 eiecit Koechly 161 *ἐκ δὲ* Bekker: *ἔκ τε* codd. — *τελέσει* Zen., *ὀψὲ καὶ ἐκτελέσει* coni. Nauck — *τίσουσιν* Zen. 163—5 delendos censuit Bentley, orationem Agamemnonis ex duabus recensionibus 155—170 et 155—157. 171—182 conflatam esse probabat Friedländer in Phil. IV 578, at vide Bekker Hom. Bl. I 212 170 *πότμον* Ar.: *μοῖραν* codd. 171 *καί κεν*: *ἦ κεν* Charax in Bekkeri an gr. 1155 — *ἐλέγχιστος* codd.: *ἐλέγχιστος καὶ ἐλέγχιστον* Ar. 173 *λίποιμεν* A: *λίποιεν* CD.

καί κέ τις ὧδ' ἐρέει Τρώων ὑπερηνορεόντων 7
τύμβῳ ἐπιθρῴσκων Μενελάου κυδαλίμοιο·
‚αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσει' Ἀγαμέμνων,
ὡς καὶ νῦν ἅλιον στρατὸν ἤγαγεν ἐνθάδ' Ἀχαιῶν,
καὶ δὴ ἔβη Ϝοῖκόνδε φίλην ἐς πατρίδα γαῖαν
σὺν κεινῇσι νέεσσι, λιπὼν ἀγαθὸν Μενέλαον.'
ὥς ποτέ τις Ϝερέει· τότε μοι χάνοι εὐρεῖα χθών."
τὸν δ' ἐπιθαρσύνων προσέφη ξανθὸς Μενέλαος·
„θάρσεε, μηδέ τί πω δειδίσσεο λαὸν Ἀχαιῶν.
οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος, ἀλλὰ πάροιθεν
εἰρύσατο ζωστήρ τε παναίολος ἠδ' ὑπένερθεν
ζῶμά τε καὶ μίτρη, τὴν χαλκῆες κάμον ἄνδρες."
τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
„αἲ γὰρ δὴ οὕτως εἴη, φίλος ὦ Μενέλαε.
ἕλκος δ' ἰητὴρ ἐπιμάσσεται, ἠδ' ἐπιθήσει
φάρμαχ', ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων."
ἦ, καὶ Ταλθύβιον θεῖον κήρυκα προσηύδα·
„Ταλθύβι', ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον,
φῶτ' Ἀσκληπιοῦ υἱὸν ἀμύμονος ἰητῆρος,
ὄφρα Ϝίδῃ Μενέλαον ἀρήιον ἀρχὸν Ἀχαιῶν,
ὅν τις ὀιστεύσας ἔβαλεν, τόξων εὖ Ϝειδώς,
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέϜος, ἄμμι δὲ πένθος."
ὣς ἔφατ'. οὐδ' ἄρα Ϝοι κῆρυξ ἀπίθησεν ἀκούσας,
βῆ δ' ἰέναι κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων,
παπταίνων ἥρωα Μαχάονα. τὸν δ' ἐνόησεν
ἑσταότ'. ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
λαῶν, οἵ Ϝοι ἕποντο Τρίκης ἐξ ἱπποβότοιο.
ἀγχοῦ δ' ἱστάμενος Ϝέπεα πτερόεντα προσηύδα·
„ὄρσ', Ἀσκληπιάδη. καλέει κρείων Ἀγαμέμνων,
ὄφρα Ϝίδῃς Μενέλαον ἀρήιον ἀρχὸν Ἀχαιῶν,

182 = *Θ* 150 194 = *Λ* 518 198 = *M* 351 199 = *K* 136 201—3 = 90—2 205—7 = 195—7.

176 ὧδ': ὧς Hoffmann quaest. hom. II 101 181 *κεινῇσι νέεσσι* Nauck: *κεινῇσιν νηυσὶ* ACD, *σὺν κεινῇσιν χερσὶ* Cant. 184 *πω* codd. et Ar.: *γρ. που* schol. A 191 *παύσῃ σε* Herwerden Rev. de phil. II 195 193 *ὅτι* A 195—7 damnat Ar. 195 *ἀρήιον ἀρχὸν Ἀχαιῶν* C et *γρ.* A 196—197 om. D 203 *προσηύδα: γρ. ἀγόρευεν* A 205 *ἀρήιον Ἀτρέος υἱόν* D.

ὅν τις ὀιστεύσας ἔβαλεν, τόξων εὖ Ϝειδώς, 7
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέϜος, ἄμμι δὲ πένθος."
ὣς φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν·
βὰν δ' ἰέναι καθ' ὅμιλον ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι ξανθὸς Μενέλαος
βλήμενος ἦν, περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι
κυκλός', ὃ δ' ἐν μέσσοισι παρίστατο Ϝισόθεος φώς,
αὐτίκα δ' ἐκ ζωστῆρος ἀρηρότος ἕλκεν ὀιστόν·
τοῦ δ' ἐξελκομένοιο πάλιν Ϝάγεν ὀξέες ὄγκοι.
λῦσε δέ Ϝοι ζωστῆρα παναίολον ἠδ' ὑπένερθεν
ζῶμά τε καὶ μίτρην, τὴν χαλκῆες κάμον ἄνδρες.
αὐτὰρ ἐπεὶ Ϝίδεν ἕλκος, ὅθ' ἔμπεσε πικρὸς ὀιστός,
αἷμ' ἐκμυζήσας ἐπ' ἄρ' ἤπια φάρμακα Ϝειδώς
πάσσε, τά Ϝοί ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων.
ὄφρα τοὶ ἀμφεπένοντο βοὴν ἀγαθὸν Μενέλαον,
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων·
οἳ δ' αὖτις κατὰ τεύχε' ἔδυν, μνήσαντο δὲ χάρμης.

ΕΠΙΠΩΛΗΣΙΣ.

Ἔνθ' οὐκ ἂν βρίζοντα Ϝίδοις Ἀγαμέμνονα δῖον, 8
οὐδὲ καταπτώσσοντ', οὐδ' οὐκ ἐθέλοντα μάχεσθαι,
ἀλλὰ μάλα σπεύδοντα μάχην ἐς κυδιάνειραν.
ἵππους μὲν γὰρ ἔασε καὶ ἅρματα ποικίλα χαλκῷ·
καὶ τοὺς μὲν θεράπων ἀπάνευθ' ἔχε φυσιόωντας
[Εὐρυμέδων, υἱὸς Πτολεμαίου Πειραΐδαο,]
τῷ μάλα πόλλ' ἐπέτελλε παρισχέμεν, ὁππότε κέν μιν
γυῖα λάβῃ κάματος πολέας διὰ κοιρανέοντα·
αὐτὰρ ὃ πεζὸς ἐὼν ἐπεπωλεῖτο στίχας ἀνδρῶν.

208 = *B* 142 216 = 187 221 = *Δ* 412. *P* 107 230 cf. *α* 192 231 = *Λ* 230 et *Γ* 196.

212 *κύκλος* Ar., cf. schol. *P* 392 213 *ἕλκεν* Ar.: *εἷλκεν* ACD 219 *οἱ*: *ῷ* coni. Nauck 222 seclusit Benicken 223—241 utrum continuo post priorem partem huius libri compositi, an aliquanto post interiecti sint non liquet; coniecturam si facere licet in re incerta, soli versus 223—250 veteris Iliadis erant et versus 250 olim versu 422 excipiebatur 228 damnat Friedländer in Jahrb. f. Ph. Suppl. III 821 229 *παρασχέμεν* CD 230 *διακοιρ.* ACD.

καί ῥ᾽ οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων, 8
τοὺς μάλα θαρσύνεσκε παριστάμενος Ϝεπέεσσιν·
„Ἀργεῖοι, μή πώ τι μεθίετε θούριδος ἀλκῆς·
οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ᾽ ἀρωγός,
ἀλλ᾽ οἵ περ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο,
τῶν ἤ τοι αὐτῶν τέρενα χρόα γῦπες ἔδονται,
ἡμεῖς δ᾽ αὖτ᾽ ἀλόχους τε φίλας καὶ νήπια τέκνα
ἄξομεν ἐν νήεσσιν, ἐπὴν πτολίεθρον ἕλωμεν.“
οὕς τινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο,
τοὺς μάλα νεικείεσκε χολωτοῖσιν Ϝεπέεσσιν·
„Ἀργεῖοι ἰόμωροι, ἐλεγχέα, οὔ νυ σέβεσθε;
τίφθ᾽ οὕτως ἔστητε τεθηπότες ἠύτε νεβροί,
αἵ τ᾽ ἐπεὶ οὖν ἔκαμον πολέος πεδίοιο θέϜουσαι,
ἑστᾶσ᾽, οὐδ᾽ ἄρα τίς σφι μετὰ φρεσὶ γίνεται ἀλκή.
ὣς ὑμεῖς ἔστητε τεθηπότες, οὐδὲ μάχεσθε.
ἦ μένετε Τρῶας σχεδὸν ἐλθέμεν, ἔνθα τε νῆες
εἰρύατ᾽ εὔπρυμνοι, πολιῆς ἐπὶ θινὶ θαλάσσης,
ὄφρα Ϝίδητ᾽ αἴ κ᾽ ὔμμιν ὑπέρσχῃ χεῖρα Κρονίων;“
ὣς ὅ γε κοιρανέων ἐπεπωλεῖτο στίχας ἀνδρῶν.
ἦλθε δ᾽ ἐπὶ Κρήτεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
οἳ δ᾽ ἀμφ᾽ Ἰδομενῆα δαΐφρονα θωρήσσοντο·
Ἰδομενεὺς μὲν ἐνὶ προμάχοις᾽, ὑὶ Ϝείκελος ἀλκήν,
Μηριόνης δ᾽ ἄρα Ϝοι πυμάτας ὤτρυνε φάλαγγας.
τοὺς δὲ Ϝιδὼν γήθησε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτίκα δ᾽ Ἰδομενῆα προσηύδα μειλιχίοισιν·
„Ἰδομενεῦ, περὶ μέν σε τίω Δαναῶν ταχυπώλων
ἠμὲν ἐνὶ πτολέμῳ ἠδ᾽ ἀλλοίῳ ἐπὶ Ϝέργῳ
ἠδ᾽ ἐν δαίθ᾽, ὅτε πέρ τε γερούσιον αἴθοπα Ϝοῖνον

233ᵇ = Γ 249 234ᵇ = Δ 418. Ε 718 . . 240 = Ζ 330
250ᵇ = 231 253ᵇ = Ρ 281 255 = Δ 283. Θ 278 257 = Θ 161.

232—250 et 268—72 una cum Γ 1—Δ 222 a vetere Iliade afuisse putat Kammer, Zur hom. Frage I 26 233 et 240 *ἴδοι* codd.: *ὅρα* Bentley, *καί ῥ᾽ ὃν μὲν σπεύδοντα Ϝίδοι* Wakefield 235 *ψευδέσσι* codd. et Ar.: *ψεύδεσσι* alii grammatici, inter quos Hermappias 238 *δ᾽ αὖτ᾽* ACD: *αὖτ᾽* Ar. 242 *ἐλέγχεα* Ahrens collato Ε 787: *ἐλεγχέες* codd. 243 *ἕστητε* D 245 *τίς σφι* ACD Ar.: *γρ. τί σφι* schol. A, cf. Ζ 438 — *γείνεται* A 251 *Ϝουλαμὸν* hic et Υ 113. 379 Bekker, cf. prol. § 98 253 *προμάχοισ᾽ ὑὶ* Nauck: *προμάχοις συὶ* codd., cf. prol. p. 142.

Ἀργείων οἱ ἄριστοι ἐνὶ κρητῆρι κέρωνται. 8
εἴ περ γάρ τ᾽ ἄλλοι γε καρηκομόωντες Ἀχαιοί
δαιτρὸν πίνωσιν, σὸν δὲ πλεῖον δέπας αἰεί
ἕστηχ᾽ ὥς περ ἐμοί, πιέμεν ὅτε θυμὸς ἀνώγῃ.
ἀλλ᾽ ὄρσευ πόλεμόνδ᾽, οἷος πάρος εὔχεαι εἶναι.“
τὸν δ᾽ αὖτ᾽ Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
„Ἀτρεΐδη, μάλα μέν τοι ἐγὼν ἐρίϜηρος ἑταῖρος
ἔσσομαι, ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα·
ἀλλ᾽ ἄλλους ὄτρυνε καρηκομόωντας Ἀχαιούς,
ὄφρα τάχιστα μαχώμεθ᾽, ἐπεὶ σύν γ᾽ ὅρκι᾽ ἔχευαν
Τρῶες. τοῖσιν δ᾽ αὖ θάνατος καὶ κήδε᾽ ὀπίσσω
ἔσσετ᾽, ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο.“
ὣς ἔφατ᾽, Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ.
ἦλθε δ᾽ ἐπ᾽ Αἰάντεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
τὼ δὲ κορυσσέσθην, ἅμα δὲ νέφος εἵπετο πεζῶν.
ὡς δ᾽ ὅτ᾽ ἀπὸ σκοπιῆς ἔϜιδεν νέφος αἰπόλος ἀνήρ
ἐρχόμενον κατὰ πόντον ὑπὸ Ζεφύροιο ἰωῆς·
τῷ δέ τ᾽ ἄνευθεν ἐόντι μελάντερον ἠύτε πίσσα
φαίνετ᾽ ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν·
ῥίγησέν τε Ϝιδών, ὑπό τε σπέος ἤλασε μῆλα·
τοῖαι ἅμ᾽ Αἰάντεσσι διοτρεφέων αἰζηῶν
δήιον ἐς πόλεμον πυκιναὶ κίνυντο φάλαγγες
κυάνεαι, σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι.
καὶ τοὺς μὲν γήθησε Ϝιδὼν κρείων Ἀγαμέμνων,
καί σφας φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„Αἴαντ᾽, Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
σφῶι μὲν — οὐδὲ ϜέϜοικ᾽ ὀτρυνέμεν — οὔ τι κελεύω·
αὐτὼ γὰρ μάλα λαὸν ἀνώγετε Ϝῖφι μάχεσθαι.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλων,

263 = Θ 70 265 = Ν 221. 259. 274. 311 271 = 236
273 = 251 285 = Μ 354 288 = Β 371.

260 *κρητῆρι* Ar.: *κρητῆρσι* ACD — *κερῶνται* Nauck 263 *πιέμεν* N: *πιέειν* ACD, cf. prol. p. 146 — *ἀνώγῃ* coni. La Roche: *ἀνώγοι* ACD *ἀνώγει* LNO 264 *ὄρσο πτολ.* coni. Nauck 270 *δ᾽ αὖ*: *δὲ* C 277 *ἰόντι* Zen. — *ἠέ τε πίσσα* coni. Bekker Hom. Bl. I 313 282 *κυάνεαι*: *ἡρώων* Zen. — *πεφρικυῖαι καὶ βεβριθυῖαι* Ar. 284 *σφέας* codd. 286 *οὐδὲ ϜέϜοικε* Bentley: *οὐ γὰρ ἔοικε* codd., *οὔ τι ἔοικ᾽ ὀτρυνέμεν*, *οὐδὲ κελεύω* coni. Nauck. 287 *ἀνώγετον* codd. 288 *Ἄπολλον* codd.

τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο· 8
τῷ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο Fάνακτος
χερσὶν ὑφ' ἡμετέρῃσι Fαλοῦσά τε περθομένη τε."
ὣς Fειπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ' ἄλλους.
ἔνθ' ὅ γε Νέστορ' ἔτετμε, λιγὺν Πυλίων ἀγορητήν,
Fοὺς ἑτάρους στέλλοντα καὶ ὀτρύνοντα μάχεσθαι,
ἀμφὶ μέγαν Πελάγοντα Ἀλάστορά τε Χρομίον τε
Αἵμονά τε κρείοντα Βίαντά τε ποιμένα λαῶν.
ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφιν,
πεζοὺς δ' ἐξόπιθε στῆσεν πολέας τε καὶ ἐσθλούς,
ἕρκος ἔμεν πολέμοιο· κακοὺς δ' ἐς μέσσον ἔλασσεν,
ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι.
ἱππεῦσιν μὲν πρῶτ' ἐπετέλλετο· τοὺς γὰρ ἀνώγει
σφοὺς ἵππους ἐχέμεν μηδὲ κλονέεσθαι ὁμίλῳ·
„μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέηφι πεποιθώς
οἶος πρόσθ' ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι,
μηδ' ἀναχωρείτω· ἀλαπαδνότεροι γὰρ ἔσεσθε.
ὃς δέ κ' ἀνὴρ ἀπὸ Fῶν ὀχέων ἕτερ' ἅρμαθ' ἵκηται,
ἔγχει ὀρεξάσθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτως.
ὧδε καὶ οἱ πρότεροι πόλιας καὶ τείχε' ἐπόρθεον,
τόνδε νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες."
ὣς ὁ γέρων ὤτρυνε πάλαι πολέμων ἐὺ Fειδώς.
καὶ τὸν μὲν γήθησε Fιδὼν κρείων Ἀγαμέμνων,
καί μιν φωνήσας Fέπεα πτερόεντα προσηύδα·
„ὦ γέρον, εἴθ' ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν,
ὥς τοι γούναθ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη.
ἀλλά σε γῆρας τείρει ὁμοίιον· ὡς ὄφελέν τις
ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ κουροτέροισι μετεῖναι."
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·

290—1 = *B* 373—4 292^a = *Δ* 364. *Σ* 468. ϱ 254 297^b = *E* 219. *M* 119 298^b = *Ω* 204 312 = *A* 201 313^b = *Δ* 360. *N* 73 317 = *Θ* 151. *K* 102. 128. 143 . . .

289 *ἅπασιν* coni. Nauck, cf. prol. p. 119 294 *ὀτρυνέοντα* C 295 *Μέγην Πελάγοντά τ'* Bentley 296 *κρείοντα Θόωνά τε Δηίπυρόν τε* Apoll. Soph. 14, 9 299 *ἔλασσεν* codd. et Ar.: γρ. *ἔεργεν* schol. A 301 *μὲν* AD: *γὰρ* C et γρ. A 303 *ἱπποσύνησι καὶ* D 307 *οὕτω* ACD, cf. prol. p. 123 308 *ὧς δὲ καὶ* D — *πόλιας* CD et γρ. A: *πόλεας* A Ar. — *ἐπόρθεον* A: *ἐπόρθουν* CD 315 fort. *ὁμίϝιον*, ut a sanscrito amīva = aerumna descendat et cum adiectivo *ὠμός* cohaereat, *ὅμοιον* codd. et sic semper.

„Ἀτρεΐδη, μάλα μέν τοι ἐγὼν ἐθέλοιμι καὶ αὐτός 8
ὣς ἔμεν, ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.
ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν·
εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ὀπάζει.
ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι ἠδὲ κελεύσω
βουλῇ καὶ μύθοισι· τὸ γὰρ γέρας ἐστὶ γερόντων.
αἰχμὰς δ' αἰχμάσσουσι νεώτεροι, οἵ περ ἐμεῖο
ὁπλότεροι γεγάασι πεποίθασίν τε βίηφιν."
ὣς ἔφατ', Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ.
εὗρ' υἱὸν Πετεῶο Μενεσθῆα πλήξιππον
ἑσταότ'· ἀμφὶ δ' Ἀθηναῖοι, μήστωρες ἀυτῆς.
αὐτὰρ ὃ πλησίον ἑστήκει πολύμητις Ὀδυσσεύς,
πὰρ δὲ Κεφαλλήνων ἀμφὶ στίχες οὐκ ἀλαπαδναί
ἕστασαν. οὐ γάρ πώ σφιν ἀκούετο λαὸς ἀυτῆς,
ἀλλὰ νέον συνορινόμεναι κίνυντο φάλαγγες
Τρώων ἱπποδάμων καὶ Ἀχαιῶν· οἳ δὲ μένοντες
ἕστασαν, ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθών
Τρώων ὁρμήσειε καὶ ἄρξειαν πολέμοιο.
τοὺς δὲ Fιδὼν νείκεσσε Fάναξ ἀνδρῶν Ἀγαμέμνων,
καί σφας φωνήσας Fέπεα πτερόεντα προσηύδα·
„ὦ υἱὲ Πετεῶο διοτρεφέος βασιλῆος,
καὶ σύ, κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον,
τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ' ἄλλους;
σφῶιν μέν τε FέFοικε μετὰ πρώτοισιν ἐόντας
ἑστάμεν ἠδὲ μάχης καυστειρῆς ἀντιβολῆσαι·
πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο,
ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζωμεν Ἀχαιοί.

321 = *Θ* 103. *Ψ* 623 326 = 272 328^b = *N* 93. *Π* 759 333^b = *B* 230 337 = 284 342 = *M* 316.

318 *μέν τοι* ACD: *μέν κεν* codd. dett. 319 *κατέκτον* C et γρ. A 320 damnat Ar. 321 *ὀπάζει* Ar.: *ἱκάνει* AC *ἱκάνοι* D 325 *βίηφι* C ut saepe in codicibus peccatum est 327 et 338 *Πετέῳο* Cobet misc. crit. 298 329 *εἱστήκει* CD 331 fort. *λαῶν σφιν ἀκούετ' ἀυτή* 333—335 eiecit Köchly 333 *Τρώων* D Ar.: *Τρώων θ'* AC 334 *πύργος Ἀχαιῶν . . . ἄρξειαν* codd. et Ar.: '*κέν τις ἐναντίον . . ἄρξειεν*' *ἐν τῇ πολυστίχῳ* 337 *σφέας* codd. 338 *υἱὸς Πετ.* Ahrens in Phil. IV 598 339 *κεκασμένε φαίδιμ' Ὀδυσσεῦ* Zen. 341 *τ' ἐπέοικε* codd., cf. prol. p. 162 343 *καὶ δαιτὸς*: *καλέοντος* coni. Nauck 344 *ἐφοπλίζοιμεν* CD.

ἔνθα φίλ᾽ ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα 8
Fοίνου πινέμεναι μελιFηδέος, ὄφρ᾽ ἐθέλητον·
νῦν δὲ φίλως χ᾽ ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
ὑμείων προπάροιθε μαχοίατο νηλέι χαλκῷ.“
    τὸν δ᾽ ἄρ᾽ ὑπόδρα Fιδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
„Ἀτρεΐδη, ποῖόν σε Fέπος φύγεν ἕρκος ὀδόντων.
πῶς δὴ φῄς πολέμοιο μεθιέμεν; ὁππότ᾽ Ἀχαιοί
Τρωσὶν ἐφ᾽ ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα,
ὄψεαι, ἢν ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μιγέντα
Τρώων ἱπποδάμων· σὺ δὲ ταῦτ᾽ ἀνεμώλια βάζεις.“
    τὸν δ᾽ ἐπιμειδήσας προσέφη κρείων Ἀγαμέμνων,
ὡς γνῶ χωομένοιο· πάλιν δ᾽ ὅ γε λάζετο μῦθον·
„διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
οὔτε σε νεικείω περιώσιον οὔτε κελεύω·
Fοῖδα γὰρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἤπια δήνεα Fοῖδε· τὰ γὰρ φρονέεις ἅ τ᾽ ἐγώ περ.
ἀλλ᾽ ἴθι· ταῦτα δ᾽ ὄπισθεν ἀρεσσόμεθ᾽, εἴ τι κακὸν νῦν
εἴρηται· τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν.“
    ὣς Fειπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ᾽ ἄλλους.
εὗρε δὲ Τυδέος υἱὸν ὑπέρθυμον Διομήδεα
ἑσταότ᾽ ἔν θ᾽ ἵπποισι καὶ ἅρμασι κολλητοῖσιν·
πὰρ δέ Fοι ἑστήκει Σθένελος Καπανήιος υἱός.
καὶ τὸν μὲν νείκεσσε Fιδὼν κρείων Ἀγαμέμνων,
καί μιν φωνήσας Fέπεα πτερόεντα προσηύδα·
„ὤ μοι, Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο,
τί πτώσσεις, τί δ᾽ ὀπιπεύεις πολέμοιο γεφύρας;
οὐ μὲν Τυδέι γ᾽ ὧδε φίλον πτωσκαζέμεν ἦεν,
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δεΐοισι μάχεσθαι,

350 = Ξ 83. α 64   352 = Τ 237   353 = Ι 359 355^{a} = 333
356 = Θ 38. Κ 400 357^{b} = ν 254   358 = Β 173 360^{b} = 313
364 = 292   366 = Λ 198   368 = 336   369 = Δ 201   370 = Β 23
371^{b} = Θ 378. 553. Λ 160. Υ 427.

345—6 fuisse qui damnarent testatur schol. A   351 signum interrogationis alios post *Ἄρηα* posuisse testantur Nicanor et Eust.
353 *ἤν κ᾽ ἐθ.* A — *ἐθέλῃσθα* codd.   362 *ἀκεσσόμεθ᾽* coni. Nauck
363 *μεταμώλια* CD   365 *Διομήδην* coni. Nauck, at v. prol. § 104
367 *εἱστήκει* CD   369 in marg. habet A   371 *οπιπτεύεις* codd. dett.
373 *δηίοισι* codd.

ὥς φάσαν οἵ μιν ἴδοντο πονεύμενον· οὐ γὰρ ἔγωγε 8
ἤντησ᾽ οὐδὲ Fίδον· περὶ δ᾽ ἄλλων φασὶ γενέσθαι.
ἢ τοι μὲν γὰρ ἄτερ πολέμου εἰσῆλθε Μυκήνας
ξεῖνος ἅμ᾽ ἀντιθέῳ Πολυνείκεϊ, λαὸν ἀγείρων,
οἵ ῥα τότ᾽ ἐστρατόονθ᾽ ἱερὰ πρὸς τείχεα Θήβης·
καί ῥα μάλα λίσσοντο δόμεν κλειτοὺς ἐπικούρους.
οἳ δ᾽ ἔθελον δόμεναι καὶ ἐπήνεον, ὡς ἐκέλευον·
ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων.
οἳ δ᾽ ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο,
Ἀσωπὸν δ᾽ ἵκοντο βαθύσχοινον λεχεποίην,
ἔνθ᾽ αὖτ᾽ ἀγγελίην ἐπὶ Τυδέα τεῖλαν Ἀχαιοί.
αὐτὰρ ὃ βῆ, πολέας δὲ κιχήσατο Καδμεΐωνας
δαινυμένους κατὰ δῶμα βίης Ἐτεοκληείης.
ἔνθ᾽ οὐδὲ ξεῖνός περ ἐὼν ἱππηλάτα Τυδεύς
τάρβει, μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείοισιν,
ἀλλ᾽ ὅ γ᾽ ἀεθλεύειν προκαλίζετο, πάντα δ᾽ ἐνίκα
ῥηιδίως· τοίη Fοι ἐπίρροθος ἦεν Ἀθήνη.
οἳ δὲ χολωσάμενοι Καδμεῖοι, κέντορες ἵππων,
ἂψ ἄρ᾽ ἀνερχομένῳ πυκινὸν λόχον εἷσαν ἄγοντες,
κούρους πεντήκοντα· δύω δ᾽ ἡγήτορες ἦσαν,
Μαίων Αἱμονίδης ἐπιFείκελος ἀθανάτοισιν,
υἱός τ᾽ Αὐτοφόνοιο μενεπτόλεμος Πολυφόντης.
Τυδεὺς μὲν καὶ τοῖσιν ἀFεικέα πότμον ἐφῆκεν·
πάντας ἔπεφν᾽, ἕνα δ᾽ οἶον ἵει Fοῖκόνδε νέεσθαι·
[Μαίον᾽ ἄρα προέηκε, θεῶν τεράεσσι πιθήσας.]
τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ τὸν υἱόν
γείνατο Fεῖο χέρηα μάχῃ, ἀγορῇ δέ τ᾽ ἀμείνω.“

374—5 = δ 200—1   389—90 = Ε 807—8   392 cf. Ζ 187
394^{b} = Δ 265 398^{b} = Ζ 183.

374 *ὥς* Hentze — *οἵ Fε Fίδοντο* Bentley, cf. prol. p. 161 — *οὐ γὰρ* usque ad *Αἰτώλιος* v. 399 eiecit Köchly   377 *ξεῖνος*: *γρ. κεῖνος* schol. A   378 *οἱ δὲ τότ᾽* A — *ἐστρατόωνθ᾽* codd.   382 *ἰδὲ*: *ἠδὲ* D
383 *Ἀσσωπὸν* C   384 *ἔπι* Heyne — *Τυδέα τεῖλαν* scripsi: *Τυδῆ* (*Τυδεῖ* D) *στεῖλαν* codd., *ἀγγελίην Τυδῆ᾽ ἔστειλαν* Nauck, cf. prol. p. 180
392 *ἂψ ἄρ᾽ ἀνερχ.* Bentley: *ἂψ ἀναερχ.* codd.   395 *Πολυφόντης* A: *Λυκοφόντης* CD et *γρ.* A et Statius Theb. II 610   398 a cyclico poeta additus esse videtur — *Μαίονά ῥα* Cant.   399 *τὸν*: *Fὸν* Brugman Probl. p. 50   400 *χέρηα* C m. sec. et Crameri an. Par. III 375: *χέρεια* ACD Ar., fort. *μάχῃ χείρω* vel *χείρονα Fεῖο μάχῃ* — *ἀμείνων* A Ar.

ὣς φάτο, τὸν δ᾽ οὔ τι προσέφη κρατερὸς Διομήδης, 8
αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο.
τὸν δ᾽ υἱὸς Καπανῆος ἀμείψατο κυδαλίμοιο·
„Ἀτρεΐδη, μὴ ψεύδε᾽ ἐπιστάμενος σάφα Fειπεῖν.
ἡμεῖς τοι πατέρων μέγ᾽ ἀμείνονες εὐχόμεθ᾽ εἶναι.
ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο,
παυρότερον λαὸν ἀγαγόνθ᾽ ὑπὸ τεῖχος ἄρειον
πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·
κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
τῷ μή μοι πατέρας ποθ᾽ ὁμοίῃ ἔνθεο τιμῇ.“
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα Fιδὼν προσέφη κρατερὸς Διομήδης·
„τέττα, σιωπῇ ἧσο, ἐμῷ δ᾽ ἐπιπείθεο μύθῳ.
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι ποιμένι λαῶν
ὀτρύνοντι μάχεσθαι ἐυκνήμιδας Ἀχαιούς·
τούτῳ μὲν γὰρ κῦδος ἅμ᾽ ἕψεται, εἴ κεν Ἀχαιοί
Τρῶας δῃώσωσιν ἕλωσί τε Ἴλιον ἱρήν,
τούτῳ δ᾽ αὖ μέγα πένθος Ἀχαιῶν δῃωθέντων.
ἀλλ᾽ ἄγε δὴ καὶ νῶι μεδώμεθα θούριδος ἀλκῆς.“
ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε·
δFεινὸν δ᾽ ἔβραχε χαλκὸς ἐπὶ στήθεσσι Fάνακτος
ὀρνυμένου· ὑπό κεν ταλασίφρονά περ δFέος εἷλεν.

ὡς δ᾽ ὅτ᾽ ἐν αἰγιαλῷ πολυηχέι κῦμα θαλάσσης
ὄρνυτ᾽ ἐπασσύτερον Ζεφύρου ὕπο κινήσαντος·
πόντῳ μέν τε πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
χέρσῳ Fρηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ᾽ ἄκρας
κυρτὸν ἰὸν κορυφοῦται, ἀποπτύει δ᾽ ἁλὸς ἄχνην·
ὣς τότ᾽ ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες
νωλεμέως πόλεμόνδε. κέλευε δὲ Fοῖσι Fέκαστος
ἡγεμόνων· οἱ δ᾽ ἄλλοι ἀκὴν ἴσαν — οὐδέ κε φαίης
τόσσον λαὸν ἕπεσθαι ἔχοντ᾽ ἐν στήθεσιν αὐδήν —

409 = α 7   411 = *E* 251. *K* 446   413[b] = *B* 254   418 = *E* 718
419 = *Γ* 29.

407—409 *ἀθετοῦνται* schol. A   412 *τέττα: τέτλα* Helladius in Phot. bibl. 531[b], 12, unde *τέτλαθι σιγῇ θ᾽* coni. Bentley   416 *Τρώων ἐκπέρσωσ᾽ εὖ ναιόμενον πτολίεθρον* schol. B ad A 407   424 *μέν τε* A: *μὲν τὰ* CD   426 *ἰὸν* Ar.: *ἐὸν* codd.

σιγῇ, δειδιότες σημάντορας· ἀμφὶ δὲ πᾶσιν 8
τεύχεα ποικίλ᾽ ἔλαμπε, τὰ Fειμένοι ἐστιχόωντο.
Τρῶες δ᾽, ὥς τ᾽ ὄιες πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ
μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκόν,
ἀζηχὲς μεμακυῖαι ἀκούουσαι ὄπα Fαρνῶν,
ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει·
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ᾽ ἴα γῆρυς,
ἀλλὰ γλῶσσ᾽ ἐμέμικτο, πολύκλητοι δ᾽ ἔσαν ἄνδρες.
ὦρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη,
Δεῖμός τ᾽ ἠδὲ Φόβος καὶ Ἔρις ἄμοτον μεμαυῖα,
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε,
ἥ τ᾽ ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.
ἥ σφιν καὶ τότε νεῖκος ὁμοίιον ἔμβαλε μέσσῳ
ἐρχομένη καθ᾽ ὅμιλον, ὀφέλλουσα στόνον ἀνδρῶν.
οἱ δ᾽ ὅτε δή ῥ᾽ ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
σύν ῥ᾽ ἔβαλον Fρινούς, σύν δ᾽ ἔγχεα καὶ μένε᾽ ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ᾽ ἀλλήλῃσι, πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει.
ἔνθα δ᾽ ἅμ᾽ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέFε δ᾽ αἵματι γαῖα.
ὡς δ᾽ ὅτε χείμαρροι ποταμοὶ κατ᾽ ὄρεσφι ῥέFοντες
ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ
κρουνῶν ἐκ μεγάλων, κοίλης ἔντοσθε χαράδρης·
τῶν δέ τε τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν·
ὣς τῶν μισγομένων γένετο Fιαχή τε πόνος τε.
πρῶτος δ᾽ Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυστήν
ἐσθλὸν ἐνὶ προμάχοισι, Θαλυσιάδην Ἐχέπωλον·
τόν ῥ᾽ ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης,

440 cf. *E* 739   446—51 = *Θ* 60—5   451[a] = *Λ* 83   456 = *Π* 366.

433 *πολυπάμμονος* CD Hesychius: *πολυπάμονος* A, receptam lectionem defendit Hinrichs de hom. eloc. vest. aeol. p. 59, cf. prol. p. 127.   434 *ἑστήκωσι* codd. dett.   440—445 damnat Duhn de Menelai itinere p. 47   441 om. Townl.   446 sqq. exordium libri tertii *Γ* 1—15 excipere poterant   449 *ἀλλήλοισι* CD   452 *ῥέοντε* C, fort. *χειμάρρω ποταμὼ κατ᾽ ὄρεσφι ῥέοντε*, solutam formam *χειμάρροοι* et hic et *E* 88. *Λ* 493 restituendam esse mihi persuasit Sittl   453 *μισγάγγειαν* D   455 *τηλόσε: γρ. τηλόθι* Harl.   456 *πόνος* Ar.: *φόβος* ACD, ut recte legitur *Π* 366.

ἐν δὲ μετώπῳ πῆξε, πέρηϲε δ᾽ ἄρ᾽ ὀϲτέον εἴϲω 8
αἰχμὴ χαλκείη· τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψεν,
ἤριπε δ᾽, ὡϲ ὅτε πύργοϲ, ἐνὶ κρατερῇ ὑϲμίνῃ.
τὸν δὲ πεϲόντα ποδῶν ἔλαβε κρείων Ἐλεφήνωρ
Χαλκωδοντιάδηϲ, μεγαθύμων ἀρχὸϲ Ἀβάντων,
ἕλκε δ᾽ ὑπὲκ βελέων, λελιημένοϲ ὄφρα τάχιϲτα
τεύχεα ϲυλήϲειε· μίνυνθα δέ Ϝοι γένεθ᾽ ὁρμή.
νεκρὸν γὰρ Ϝερύοντα Ϝιδὼν μεγάθυμοϲ Ἀγήνωρ
πλευρά, τά Ϝοι κύψαντι παρ᾽ ἀϲπίδοϲ ἐξεφαάνθη,
οὔτηϲε ξυϲτῷ χαλκήρεϊ, λῦϲε δὲ γυῖα.
ὣϲ τὸν μὲν λίπε θυμόϲ, ἐπ᾽ αὐτῷ δ᾽ ἔργον ἐτύχθη
ἀργαλέον Τρώων καὶ Ἀχαιῶν· οἳ δὲ λύκοι ὥϲ
ἀλλήλοιϲ ἐπόρουϲαν, ἀνὴρ δ᾽ ἄνδρ᾽ ἐδνοπάλιζεν.
ἔνθ᾽ ἔβαλ᾽ Ἀνθεμίωνοϲ υἱὸν Τελαμώνιοϲ Αἴαϲ,
ἠίθεον θαλερὸν Ϲιμοείϲιον, ὅν ποτε μήτηρ
Ἴδηθεν κατιοῦϲα παρ᾽ ὄχθηϲιν Ϲιμόεντοϲ
γείνατ᾽, ἐπεί ῥα τοκεῦϲιν ἅμ᾽ ἕϲπετο μῆλα Ϝιδέϲθαι.
τοὔνεκά μιν κάλεον Ϲιμοείϲιον· οὐδὲ τοκεῦϲιν
θρέπτρα φίλοιϲ ἀπέδωκε, μινυνθάδιοϲ δέ Ϝοι αἰών
ἔπλεθ᾽ ὑπ᾽ Αἴαντοϲ μεγαθύμου δουρὶ δαμέντι.
πρῶτον γάρ μιν ἰόντα βάλε ϲτῆθοϲ παρὰ μαζόν
δεξιόν. ἀντικρὺ δὲ δι᾽ ὤμου χάλκεον ἔγχοϲ
ἦλθεν. ὃ δ᾽ ἐν κονίῃϲι χαμαὶ πέϲεν, αἴγειροϲ ὥϲ,
ἥ ῥά τ᾽ ἐν εἱαμενῇ ἕλεοϲ μεγάλοιο πεφύκῃ
λείη, ἀτάρ τέ Ϝοι ὄζοι ἐπ᾽ ἀκροτάτῃ πεφύαϲιν·
τὴν μέν θ᾽ ἁρματοπηγὸϲ ἀνὴρ αἴθωνι ϲιδήρῳ
ἐξέταμ᾽, ὄφρα Ϝίτυν κάμψῃ περικαλλέϊ δίφρῳ·
ἣ μέν τ᾽ ἀζομένη κεῖται ποταμοῖο παρ᾽ ὄχθαϲ.
τοῖον ἄρ Ἀνθεμίδην Ϲιμοείϲιον ἐξενάριξεν
Αἴαϲ διογενήϲ. τοῦ δ᾽ Ἄντιφοϲ αἰολοθώρηξ
Πριαμίδηϲ καθ᾽ ὅμιλον ἀκόντιϲεν ὀξέϊ δουρί.

459—62 = Z 9—11 461^{b} = Δ 530. 526. N 575. Ξ 519 . .
464 = B 541 469 = Λ 260 478—9 = P 302—3 485^{b} = Η 473. α 184.

467 *γὰρ ἐρ.* C: *γάρ ῥ᾽ ἐρ.* AD — *ἐρύοντα: ἕλκοντα* D 470 *ἐπ᾽ αὖ τῷ Ϝέργον* coni. Heyne 472 *ἐδνοπάλιξεν* Vrat., ut Apoll. Soph. 59, 22 478 *θρεπτὰ* Zen. 483 *πεφύκῃ* Hermann op. II 44: *πεφύκει* codd. 490 *γρ. ἀκόντισε δουρὶ φαεινῷ* (= Δ 496) A — *δουρὶ: χαλκῷ* D.

τοῦ μὲν ἅμαρθ᾽, ὃ δὲ Λεῦκον Ὀδυϲϲέοϲ ἐϲθλὸν ἑταῖρον 8
βεβλήκει βουβῶν᾽, ἑτέρωϲε νέκυν Ϝερύοντα·
ἤριπε δ᾽ ἀμφ᾽ αὐτῷ, νεκρὸϲ δέ Ϝοι ἔκπεϲε χειρόϲ.
τοῦ δ᾽ Ὀδυϲεὺϲ μάλα θυμὸν ἀποκταμένοιο χολώθη,
βῆ δὲ διὰ προμάχων κεκορυθμένοϲ αἴθοπι χαλκῷ,
ϲτῆ δὲ μάλ᾽ ἐγγὺϲ ἰών, καὶ ἀκόντιϲε δουρὶ φαεινῷ
ἀμφὶ Ϝὲ παπτήναϲ. ὑπὸ δὲ Τρῶεϲ κεκάδοντο
ἀνδρὸϲ ἀκοντίϲϲαντοϲ. ὃ δ᾽ οὐχ ἅλιον βέλοϲ ἧκεν,
ἀλλ᾽ υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα,
ὅϲ Ϝοι Ἀβυδόθεν ἦλθε παρ᾽ ἵππων ὠκειάων.
τόν ῥ᾽ Ὀδυϲεὺϲ ἑτάροιο χολωϲάμενοϲ βάλε δουρί
κόρϲην· ἣ δ᾽ ἑτέροιο διὰ κροτάφοιο πέρηϲεν
αἰχμὴ χαλκείη· τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψεν,
δούπηϲεν δὲ πεϲών, ἀράβηϲε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
χώρηϲαν δ᾽ ὑπό τε πρόμαχοι καὶ φαίδιμοϲ Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα Ϝίαχον, Ϝερύϲαντο δὲ νεκρούϲ,
ἴθυϲαν δὲ πολὺ προτέρω. νεμέϲηϲε δ᾽ Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεϲϲι δὲ κέκλετ᾽ ἀΰϲαϲ·
„ὄρνυϲθ᾽, ἱππόδαμοι Τρῶεϲ, μὴ Ϝείκετε χάρμηϲ
Ἀργείοιϲ, ἐπεὶ οὔ ϲφι λίθοϲ χρὼϲ οὐδὲ ϲίδηροϲ
χαλκὸν ἀναϲχέϲθαι ταμεϲίχροα βαλλομένοιϲιν.
οὐ μὰν οὐδ᾽ Ἀχιλεὺϲ Θέτιδοϲ παῖϲ ἠυκόμοιο
μάρναται, ἀλλ᾽ ἐπὶ νηυϲὶ χόλον θυμαλγέα πέϲϲει."
ὣϲ φάτ᾽ ἀπὸ πτόλιοϲ δϜεινὸϲ θεόϲ· αὐτὰρ Ἀχαιούϲ
ὦρϲε Διὸϲ θυγάτηρ κυδίϲτη τριτογένεια,
ἐρχομένη καθ᾽ ὅμιλον, ὅθι μεθιένταϲ ἴδοιτο.
ἔνθ᾽ Ἀμαρυγκεΐδην Διώρεα μοῖρα πέδηϲεν.
χερμαδίῳ γὰρ βλῆτο παρὰ ϲφυρὸν ὀκριόεντι
κνήμην δεξιτερήν· βάλε δὲ Θρῃκῶν ἀγὸϲ ἀνδρῶν,

494 = N 660 495 = E 562. 681. P 3. 87. 592. Υ 111 496 = E 611. Λ 577. P 347 496—8 = O 573—5 500 cf. O 547—8 504 = E 42. 540. N 187. P 50. 311 505—6 = P 316—7 505 = Π 588 509^{a} = M 440 515 = γ 378 516^{b} = M 268. N 229.

492 *βουβῶν᾽ ἑτέρωσε νέκυν Ϝερ.* Heyne: *βουβῶνα νέκυν ἑτέρωσ᾽ ἐρ.* codd. 493 *γρ. ἔκφυγε χειρός* Eust. 508 *ἐκκαθορῶν* Bentley 509 *μὴ Ϝείκετε* Bekker: *μηδ᾽ εἴκετε* codd. 516 *μεθιέντας* ACD: *μεθιέντα* N, nescio an vere 517 *μοῖρα πέδησε* Ar.: *μοῖρ᾽ ἐπέδησε* codd. 518 *ὀκρυόεντι* C.

Πείροος Ἰμβραςίδης, ὃς ἄρ᾽ Αἰνόθεν εἰληλούθει. 8
ἀμφοτέρω δὲ τένοντε καὶ ὀςτέα λᾶας ἀναιδὴς
ἄχρις ἀπηλοίηςεν· ὃ δ᾽ ὕπτιος ἐν κονίηςιν
κάππεςεν, ἄμφω χεῖρε φίλοις ἑτάροιςι πετάςςας
θυμὸν ἀποπνείων. ὃ δ᾽ ἐπέδραμεν ὅς ῥ᾽ ἔβαλέν περ,
Πείροος, οὖτα δὲ δουρὶ παρ᾽ ὀμφαλόν· ἐκ δ᾽ ἄρα πᾶςαι
χύντο χαμαὶ χολάδες, τὸν δὲ ςκότος ὄςςε κάλυψεν.
τὸν δὲ Θόας Αἰτωλὸς ἀπεςςύμενον βάλε δουρὶ
ςτέρνον ὑπὲρ μαζοῖο, πάγη δ᾽ ἐν πνεύμονι χαλκός.
ἀγχίμολον δέ Fοι ἦλθε Θόας, ἐκ δ᾽ ὄβριμον ἔγχος
ἐςπάςατο ςτέρνοιο, Fερύςςατο δὲ ξίφος ὀξύ,
τῷ ὅ γε γαςτέρα τύψε μέςην, ἐκ δ᾽ αἴνυτο θυμόν.
τεύχεα δ᾽ οὐκ ἀπέδυςε· περίςτηςαν γὰρ ἑταῖροι
Θρήικες ἀκρόκομοι, δολίχ᾽ ἔγχεα χερςὶν ἔχοντες,
οἵ Fε μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυόν
ὦςαν ἀπὸ ςφείων· ὃ δὲ χαςςάμενος πελεμίχθη.
ὣς τώ γ᾽ ἐν κονίηςι παρ᾽ ἀλλήλοιςι τετάςθην,
ἦ τοι ὃ μὲν Θρεΐκων ὃ δ᾽ Ἐπειῶν χαλκοχιτώνων
ἡγεμόνες· πολλοὶ δὲ περικτείνοντο καὶ ἄλλοι.
ἔνθα κεν οὐκέτι Fέργον ἀνὴρ ὀνόςαιτο μετελθών,
ὅς τις ἔτ᾽ ἄβλητος καὶ ἀνούτατος ὀξέι χαλκῷ
δινεύοι κατὰ μέςςον, ἄγοι δέ Fε Παλλὰς Ἀθήνη
χειρὸς ἑλοῦςα, ἀτὰρ βελέων ἀπερύκοι ἐρωήν·
πολλοὶ γὰρ Τρώων καὶ Ἀχαιῶν ἤματι κείνῳ
πρηνέες ἐν κονίηςι παρ᾽ ἀλλήλοιςι τέταντο.

ΔΙΟΜΗΔΟΥΣ ΑΡΙΣΤΕΙΑ.

Ἔνθ᾽ αὖ Τυδεΐδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη E
δῶκε μένος καὶ θάρςος, ἵν᾽ ἔκδηλος μετὰ πᾶςιν

522—3 = *N* 548—9 526 = *Φ* 181 528^b = *Υ* 486 534—5 = *E* 625—6 535 = *N* 148 539^b cf. *N* 127. *P* 399.

520 et 525 *Πείροος* scripsi, ut scriptum exstat *B* 844: *Πείρως* ACD 522 *ἀπηλλοίησεν* C 527 *ἀπεσσύμενον* et *ἐπεσσύμενος* Ar., *ἐπεσσύμενον* ACD 528 *πλεύμονι* Phot. lex. 433, 18 337 *Θρηκῶν* codd., cf. prol. p. 177. 542 *ἀτὰρ* A: *αὐτὰρ* CD et γρ. A.

Librum *E* et ex duabus partibus arte inter se cohaerentibus constare et magnis additamentis auctum videri exposuimus prol. § 6 et 34;

Ἀργείοιςι γένοιτο ἰδὲ κλέFος ἐςθλὸν ἄροιτο. 9
δαῖέ Fοι ἐκ κόρυθός τε καὶ ἀςπίδος ἀκάματον πῦρ,
ἀςτέρ᾽ ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιςτα
λαμπρὸν παμφαίνηςι λελουμένος Ὠκεανοῖο.
τοῖόν Fοι πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων,
ὦρςε δέ μιν κατὰ μέςςον, ὅθι πλεῖςτοι κλονέοντο.
ἦν δέ τις ἐν Τρώεςςι Δάρης ἀφνειὸς ἀμύμων,
ἱρεὺς Ἡφαίςτοιο· δύω δέ Fοι υἱέες ἤςτην,
Φηγεὺς Ἰδαῖός τε, μάχης εὖ Fειδότε πάςης.
τώ Fοι ἀποκρινθέντε ἐναντίω ὁρμηθήτην·
τὼ μὲν ἀφ᾽ ἵπποιιν, ὃ δ᾽ ἀπὸ χθονὸς ὤρνυτο πεζός.
οἳ δ᾽ ὅτε δὴ ςχεδὸν ἦςαν ἐπ᾽ ἀλλήλοιςιν ἰόντες,
Φηγεύς ῥα πρότερος προΐει δολιχόςκιον ἔγχος,
Τυδεΐδεω δ᾽ ὑπὲρ ὦμον ἀριςτερὸν ἤλυθ᾽ ἀκωκὴ
ἔγχεος, οὐδ᾽ ἔβαλ᾽ αὐτόν. ὃ δ᾽ ὕςτερος ὤρνυτο χαλκῷ
Τυδεΐδης· τοῦ δ᾽ οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
ἀλλ᾽ ἔβαλε ςτῆθος μεταμάζιον, ὦςε δ᾽ ἀφ᾽ ἵππων.
Ἰδαῖος δ᾽ ἀπόρουςε λιπὼν περικαλλέα δίφρον,
οὐδ᾽ ἔτλη περιβῆναι ἀδελφεόο κταμένοιο·
οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν,
ἀλλ᾽ Ἥφαιςτος ἔρυτο, ςάωςε δὲ νυκτὶ καλύψας,
ὡς δή Fοι μὴ πάγχυ γέρων ἀκαχήμενος εἴη.
ἵππους δ᾽ ἐξελάςας μεγαθύμου Τυδέος υἱός
δῶκεν ἑταίροιςιν κατάγειν κοίλας ἐπὶ νῆας.
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ Fίδον υἷε Δάρητος
τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον παρ᾽ ὄχεςφιν,
πᾶςιν ὀρίνθη θυμός. ἀτὰρ γλαυκῶπις Ἀθήνη
χειρὸς ἑλοῦςα Fέπεςςι προςηύδα θοῦρον Ἄρηα·
„Ἆρες, Ἄρες βροτολοιγέ, μιαιφόνε, τειχεςιπλῆτα,

7 cf. *P* 205 8 = *Π* 285 9^a = *K* 314. *N* 663. *ι* 508 . . . 14 = *Γ* 15 16—8 = *Π* 478—80 18 = *Λ* 376 26 = *Φ* 32 27^a = *Λ* 459.

sed quos longo temporis intervallo interiecto additos diverso litterarum genere significavi versus (471—493 et 607—698) utrum eidem, cui veterem libri partem, an recentiori alicui poetae ascribam, incertus fluctuo. V. 10 *ἦσαν* C 12 *ἀποκριθέντε* CD Ambr. — *ἐναντίον* codd. dett. — *ὁρμηθήτην* AD Ambr.: *ὡρμηθήτην* C 13 om. C — fort. *ἵππωιν*, cf. prol. p. 115 21 *ἀδελφειοῦ* codd., cf. prol. p. 135 30 *ἑλοῦσ᾽ ἐπέεσσι* ACD 31 *τειχεσιβλῆτα* Zen.

οὐκ ἂν δὴ Τρῶας μὲν ἐάcαιμεν καὶ Ἀχαιούc
μάρναcθ', ὁπποτέροιcι πατὴρ Ζεὺc κῦδοc ὀρέξῃ;
νῶι δὲ χαζώμεcθα, Διὸc δ' ἀλεϝώμεθα μῆνιν."
ὣc ϝειποῦcα μάχηc ἐξήγαγε θοῦρον Ἄρηα.
τὸν μὲν ἔπειτα καθεῖcεν ἐπ' ἠιόεντι Cκαμάνδρῳ,
Τρῶαc δ' ἔκλιναν Δαναοί· ἕλε δ' ἄνδρα ϝέκαcτοc
ἡγεμόνων. πρῶτοc δὲ ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
ἀρχὸν Ἁλιζώνων, Ὀδίον μέγαν, ἔκβαλε δίφρου·
πρώτῳ γὰρ cτρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεccηγύc, διὰ δὲ cτήθεcφιν ἔλαccεν.
δούπηcεν δὲ πεcών, ἀράβηcε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἰδομενεὺc δ' ἄρα Φαῖcτον ἐνήρατο, Μῄονοc υἱόν
Βώρου, ὃc ἐκ Τάρνηc ἐριβώλακοc εἰληλούθει.
τὸν μὲν ἄρ' Ἰδομενεὺc δουρικλυτὸc ἔγχεϊ μακρῷ
νύξ' ἵππων ἐπιβηcόμενον κατὰ δεξιὸν ὦμον·
ἤριπε δ' ἐξ ὀχέων, cτυγερὸc δ' ἄρα μιν cκότοc εἷλεν.
τὸν μὲν ἄρ' Ἰδομενῆοc ἐcύλευον θεράποντεc·
υἱὸν δὲ Cτροφίοιο Cκαμάνδριον, αἵμονα θήρηc,
Ἀτρεΐδηc Μενέλαοc ἕλ' ἔγχεϊ ὀξυόεντι,
ἐcθλὸν θηρητῆρα· δίδαξε γὰρ Ἄρτεμιc αὐτή
βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεcιν ὕλη.
ἀλλ' οὔ ϝοι τότε γε χραῖcμ' Ἄρτεμιc ἰοχέϝαιρα,
οὐδὲ ϝεκηβολίαι, ᾗcιν τὸ πρίν γ' ἐκέκαcτο·
ἀλλά μιν Ἀτρεΐδηc δουρικλειτὸc Μενέλαοc
πρόcθε ϝέθεν φεύγοντα μετάφρενον οὔταcε δουρί
ὤμων μεccηγύc, διὰ δὲ cτήθεcφιν ἔλαccεν.
ἤριπε δὲ πρηνήc, ἀράβηcε δὲ τεύχε' ἐπ' αὐτῷ.
Μηριόνηc δὲ Φέρεκλον ἐνήρατο, Τέκτονοc υἱόν
Ἁρμονίδεω, ὃc χερcὶν ἐπίcτατο δαίδαλα πάντα
τεύχειν. ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰc Ἀθήνη·
ὃc καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆαc ἐΐcαc

40—2 = *Θ* 258—60. *Λ* 447—9 42 = *Δ* 504 46—7 = *Π* 343—4 56 = *Υ* 402. *Λ* 338 57—8 = *Ε* 41—2 58 = *Ε* 294. *Θ* 260.

33 *ὀρέξει* C 36 *Καμάνδρῳ* C in ras. 42 om. AC 43 *Μαίονος* C 49 *Καμάνδριον* C in ras. 53 *χραῖσμεν θανάτοιο πέλωρα* Zen. 55 *δουρὶ κλυτὸς* AC 57 om. ACD, in marg. add. A 58 *δὲ πρηνὴς: δ' ἐξ ὀχέων* codd. dett., ut scriptum exstat *E* 294 60 *πάντα: πολλὰ* ed. altera Aristarchi.

ἀρχεκάκουc, αἳ πᾶcι κακὸν Τρώεccι γένοντο
ϝοῖ τ' αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέcφατα ϝείδη.
τὸν μὲν Μηριόνηc ὅτε δὴ κατέμαρπτε διώκων,
βεβλήκει γλουτὸν κάτα δεξιόν· ἣ δὲ διαπρό
ἀντικρὺ κατὰ κύcτιν ὑπ' ὀcτέον ἤλυθ' ἀκωκή.
γνὺξ δ' ἔριπ' οἰμώξαc, θάνατοc δέ μιν ἀμφεκάλυψεν.
Πήδαιον δ' ἄρ' ἔπεφνε Μέγηc, Ἀντήνοροc υἱόν,
ὅc ῥα νόθοc μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανώ,
ϝῖcα φίλοιcι τέκεccι, χαριζομένη πόcεϊ ϝῷ.
τὸν μὲν Φυλεΐδηc δουρικλυτὸc ἐγγύθεν ἐλθών
βεβλήκει κεφαλῆc κατὰ ϝινίον ὀξέϊ δουρί·
ἀντικρὺ δ' ἀν' ὀδόνταc ὑπὸ γλῶccαν τάμε χαλκόc.
ἤριπε δ' ἐν κονίῃ, ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦcιν.
Εὐρύπυλοc δ' Εὐαιμονίδηc Ὑψήνορα δῖον,
υἱὸν ὑπερθύμου Δολοπίονοc, ὅc ῥα Cκαμάνδρου
ἀρητὴρ ἐτέτυκτο, θεὸc δ' ὣc τίετο δήμῳ,
τὸν μὲν ἄρ' Εὐρύπυλοc Εὐαίμονοc ἀγλαὸc υἱόc
πρόcθε ϝέθεν φεύγοντα μεταδρομάδην ἔλαc' ὦμον,
φαcγάνῳ ἀΐξαc, ἀπὸ δ' ἔξεcε χεῖρα βαρεῖαν.
αἱματόεccα δὲ χεὶρ πεδίῳ πέcε· τὸν δὲ κατ' ὄccε
ἔλλαβε πορφύρεοc θάνατοc καὶ μοῖρα κραταιή.
ὣc οἳ μὲν πονέοντο κατὰ κρατερὴν ὑcμίνην·
Τυδεΐδην δ' οὐκ ἂν γνοίηc, ποτέροιcι μετείη,
ἠὲ μετὰ Τρώεccιν ὁμιλέοι ἦ μετ' Ἀχαιοῖc.
θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ϝεϝοικώc
χειμάρρῳ, ὅc τ' ὦκα ῥέϝων ἐκέδαccε γεφύραc·
τὸν δ' οὔτ' ἄρ τε γέφυραι ἐερμέναι ἰcχανόωcιν,
οὔτ' ἄρα ἕρκεα ἴcχει ἀλωάων ἐριθηλέων,
ἐλθόντ' ἐξαπίνηc, ὅτ' ἐπιβρίcῃ Διὸc ὄμβροc·
πολλὰ δ' ὑπ' αὐτοῦ ϝέργα κατήριπε κάλ' αἰζηῶν.

67 = *N* 652 68 = *Υ* 417 72^{b} = *Λ* 396. *Ξ* 446 78^{b} = *K* 33 *Λ* 58 . . 83 = *Π* 334. *Υ* 477 84^{b} = *Λ* 190 91^{b} = *M* 286.

64 *ἀθετεῖται* schol. A 66 *διὰ πρό* D, cf. Spitzner exc. XVIII 75 *κονίῃ* C: *κονίης* AD, cf. prol. § 85 — *γρ. ἤριπε δ' ἐξ ὀχέων* schol. A 77 *Καμάνδρου* C in ras. 86 *ἦ Δαναοῖσιν* coni. Nauck, cf. prol. p. 143 88 *χειμαρόῳ* malo — *ἐκέασσε* coni. Nauck collato *ε* 132 89 *ἐερμέναι* Ar.: *ἐεργμέναι* codd. 91 *ἐπιβρίσει* CD.

ὣς ὑπὸ Τυδεΐδῃ πυκιναὶ κλονέοντο φάλαγγες
Τρώων, οὐδ' ἄρα μιν μίμνον πολέες περ ἐόντες.
τὸν δ' ὡς οὖν ἐνόηςε Λυκάονος ἀγλαὸς υἱός
θύνοντ' ἂμ πεδίον πρὸ Ϝέθεν κλονέοντα φάλαγγας,
αἶψ' ἐπὶ Τυδεΐδῃ ἐτιταίνετο καμπύλα τόξα,
καὶ βάλ' ἐπαΐςςοντα, τυχὼν κατὰ δεξιὸν ὦμον,
θώρηκος γύαλον· διὰ δ' ἔπτατο πικρὸς ὀιςτός,
ἀντικρὺ δὲ διέςχε, παλάςςετο δ' αἵματι θώρηξ.
τῷ δ' ἐπὶ μακρὸν ἄυςε Λυκάονος ἀγλαὸς υἱός·
„ὄρνυςθε, Τρῶες μεγάθυμοι, κέντορες ἵππων·
βέβληται γὰρ ἄριςτος Ἀχαιῶν, οὐδέ Ϝέ φημι
δήθ' ἀνςχήςεςθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
ὦρςε Ϝάναξ Διὸς υἱὸς ἀπορνύμενον Λυκίηθεν."
ὣς ἔφατ' εὐχόμενος· τὸν δ' οὐ βέλος ὠκὺ δάμαςςεν,
ἀλλ' ἀναχωρήςας πρόςθ' ἵπποιιν καὶ ὄχεςφιν
ἔςτη, καὶ Cθένελον προςέφη Καπανήιον υἱόν·
„ὄρςο, πέπον Καπανηιάδη, καταβήςεο δίφρου,
ὄφρα μοι ἐξ ὤμοιο Ϝερύςςῃς πικρὸν ὀιςτόν."
ὣς ἄρ' ἔφη, Cθένελος δὲ καθ' ἵππων ἆλτο χαμᾶζε,
πὰρ δὲ ςτὰς βέλος ὠκὺ διαμπερὲς ἐκϜέρυς' ὤμου·
αἷμα δ' ἀνηκόντιζε διὰ ςτρεπτοῖο χιτῶνος.
δὴ τότ' ἔπειτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
„κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη·
εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουςα παρέςτης
δηίῳ ἐν πολέμῳ, νῦν αὖτ' ἐμὲ φῖλαι, Ἀθήνη,
δὸς δέ τέ μ' ἄνδρα ἑλεῖν, καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν
ὅς μ' ἔβαλε φθάμενος καὶ ἐπεύχεται, οὐδέ μέ φηςιν
δηρὸν ἔτ' ὄψεςθαι λαμπρὸν φάος ἠελίοιο."
ὣς ἔφατ' εὐχόμενος· τοῦ δὲ κλύε Παλλὰς Ἀθήνη,
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν,

114 = *K* 278 115 = *K* 278. *δ* 762 117—8 = *K* 280—1
121 2 = *Ψ* 771-2 121 = *K* 295 122 = *N* 61.

104 *δῆθ' ἀνασχήσεσθαι* C 115 *μευ* Harl. aliique codd. dett.: *μοι* ACD, quod ex usu recentiorum poetarum huc illatum esse docuit La Roche 117 *φίλε'* CD 118 *δὸς δέ τέ μ' ἄνδρα* codd.: *γρ. τόνδε τέ μ' ἄνδρα* schol. A, ut locum laudat Aristonicus ad *P* 119, *δὸς δέ μοι ἀντιάσαι* coni. Nauck, *ἐς ὁρμὴν Ϝ' ἔγχεος* coni. Herwerden Rev. de phil. II 195.

ἀγχοῦ δ' ἱςταμένη Ϝέπεα πτερόεντα προςηύδα·
„θαρςῶν νῦν, Διόμηδες, ἐπὶ Τρώεςςι μάχεςθαι·
ἐν γάρ τοι ςτήθεςςι μένος πατρώιον ἧκα
ἄτρομον, οἷον ἔχεςκε ςακέςπαλος ἱππότα Τυδεύς·
ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
ὄφρ' εὖ γινώςκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.
τῷ νῦν, αἴ κε θεὸς πειρώμενος ἐνθάδ' ἵκηται,
μή τι cύ γ' ἀθανάτοιςι θεοῖς ἀντικρὺ μάχεςθαι
τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃς' ἐς πόλεμον, τήν γ' οὐτάμεν ὀξέι χαλκῷ."
ἡ μὲν ἄρ' ὣς Ϝειποῦς' ἀπέβη γλαυκῶπις Ἀθήνη,
Τυδεΐδης δ' ἐξαῦτις ἰὼν προμάχοιςιν ἐμίχθη·
καὶ πρίν περ θυμῷ μεμαὼς Τρώεςςι μάχεςθαι,
δὴ τότε μιν τρὶς τόςςον ἕλεν μένος, ὥς τε λέοντα,
ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοις ὀίεςςιν
χραύςῃ μέν τ' αὐλῆς ὑπεράλμενον, οὐδὲ δαμάςςῃ·
τοῦ μέν τε ςθένος ὦρςεν, ἔπειτα δέ τ' οὐ προςαμύνει,
ἀλλὰ κατὰ ςταθμοὺς δύεται, τὰ δ' ἐρῆμα φοβεῖται·
αἱ μέν τ' ἀγχιςτῖναι ἐπ' ἀλλήλῃςι κέχυνται,
αὐτὰρ ὃ ἐμμεμαὼς βαθέης ἐξάλλεται αὐλῆς.
ὣς μεμαὼς Τρώεςςι μίγη κρατερὸς Διομήδης.
ἔνθ' ἕλε Ϝαςτύνοον καὶ Ὑπείρονα, ποιμένα λαῶν,
τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί,
τὸν δ' ἕτερον ξίφεϊ μεγάλῳ κληΪδα παρ' ὦμον
πλῆξ', ἀπὸ δ' αὐχένος ὦμον ἐϜέργαθεν ἠδ' ἀπὸ νώτου.
τοὺς μὲν ἔας', ὃ δ' Ἄβαντα μετῴχετο καὶ ΠολύϜιδον,
υἱέας Εὐρυδάμαντος ὀνειροπόλοιο γέροντος,
τοῖς οὐκ ἐρχομένοις ὁ γέρων ἐκρίνατ' ὀνείρους,
ἀλλά ςφας κρατερὸς Διομήδης ἐξενάριξεν.
βῆ δὲ μετὰ Ξάνθον τε Θόωνά τε Φαίνοπος υἷε,

134 = *Θ* 99 145 = *Λ* 108 et 712 148ᵃ = *Λ* 148.

128 *γινώσκῃς* codd. dett.: *γινώσκοις* ACD — *ἠδ' ἄνθρωπον* Zen. 132 *τὴν γ'* et *τὴν* Ar. — *οὐτάσαι* Zen. 136 *ἕλεν*: *ἔχεν* Ptolemaeus Oroandae 138 *χραύσει . . . δαμάσσει* C 141 *ἀγχιστῖναι* D: *ἀγχηστῖναι* AC 144 fort. *ποιμένε* 146 *τοῦ δ' ἑτέρου* Zen. 148 *Πολύειδον* codd. GN, quae vera nominis forma fuisse videtur, sed iam Sophoclis temporibus errorem scripturae circumlatum esse docet schol. ad *N* 663 et Et. M. 681, 22 151 *σφέας* codd.

ἄμφω τηλυγέτω· ὃ δὲ τείρετο γήραϊ λυγρῷ, 9
υἱὸν δ' οὐ τέκετ' ἄλλον ἐπὶ κτεάτεσσι λιπέσθαι.
ἔνθ' ὅ γε τοὺς ἐνάριζε, φίλον δ' ἐξαίνυτο θυμὸν
ἀμφοτέρω, πατέρι δὲ γόον καὶ κήδεα λυγρά
λεῖπ', ἐπεὶ οὐ ζώοντε μάχης ἐκνοστήσαντε
δέξατο· χηρωσταὶ δὲ διὰ κτῆσιν δατέοντο.
ἔνθ' υἷας Πριάμοιο δύω λάβε Δαρδανίδαο
εἰν ἑνὶ δίφρῳ ἐόντας, Ἐχέμμονά τε Χρομίον τε.
ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα Fάξῃ
πόρτιος ἠδὲ βοός, ξύλοχον κάτα βοσκομενάων,
ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱός
βῆσε κακῶς ἀFέκοντας, ἔπειτα δὲ τεύχε' ἐσύλα·
ἵππους δ' αὖθ' ἑτάροισι δίδου μετὰ νῆας ἐλαύνειν.
τὸν δὲ Fίδ' Αἰνείας ἀλαπάζοντα στίχας ἀνδρῶν,
βῆ δ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων
Πάνδαρον ἀντίθεον διζήμενος εἴ που ἐφεύροι.
εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε,
στῆ δὲ πρόσθ' αὐτοῖο, Fέπος τέ μιν ἀντίον ηὔδα·
„Πάνδαρε, ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀιστοί
καὶ κλέFος; ᾧ οὔ τίς τοι ἐρίζεται ἐνθάδε γ' ἀνήρ,
οὐδέ τις ἐν Λυκίῃ σέο γ' εὔχεται εἶναι ἀμείνων.
ἀλλ' ἄγε τῷδ' ἔφες ἀνδρὶ βέλος, Διὶ χεῖρας ἀνασχών,
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ FέFοργεν
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσεν·
εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν
ἱρῶν μηνίσας· χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις."
τὸν δ' αὖτε προσέFειπε Λυκάονος ἀγλαὸς υἱός·
„Αἰνεία Τρώων βουληφόρε χαλκοχιτώνων,
Τυδεΐδῃ μιν ἔγωγε δαΐφρονι πάντα FεFίσκω,
ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ,

154^a = Λ 488 160^a = Ε 609. Λ 103. 127 167 = Υ 319
168—9 = Δ 88—9 175—6 = Π 424—5 180 = Ρ 485. Ν 463. Υ 83.

155 ἐνάριξε D 156 ἀμφοτέρων Zen. — κήδεϊ A 161 ἄξει C 162 πόρτιος: βουκόλου Zen. — ἠδὲ Bentley: ἠὲ codd. 165 δ' αὖθ' Heyne: δ' οἷς codd. 178 ἐπιμῆνις CD Ar. 181 μιν et μὲν Ar. 182 γιγνώσκων C, scripturas γινώσκειν et γίνεσθαι antiquas Aristarcheisque probatas, γιγνώσκειν et γίγνεσθαι recentes et ab Heraclide invectas esse docet W. C. Kayser in Philol. XVIII 657.

ἵππους τ' εἰσορόων· σάφα δ' οὐ Fοῖδ' εἰ θεός ἐστιν. 9
εἰ δ' ὅ γ' ἀνὴρ ὅν φημι, δαΐφρων Τυδέος υἱός,
οὐχ ὅ γ' ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
ἕστηκ' ἀθανάτων, νεφέλῃ εἰλυμένος ὤμους,
ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.
ἤδη γάρ Fοι ἐφῆκα βέλος, καί μιν βάλον ὦμον
δεξιόν, ἀντικρὺ διὰ θώρηκος γυάλοιο,
καί μιν ἔγωγ' ἐφάμην Ἀιδωνῆι προϊάψειν,
ἔμπης δ' οὐκ ἐδάμασσα. θεός νύ τίς ἐστι κοτήεις.
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίην.
ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι
καλοὶ πρωτοπαγεῖς νεοτευχέες· ἀμφὶ δὲ πέπλοι
πέπτανται· παρὰ δέ σφι Fεκάστῳ δίζυγες ἵπποι
ἑστᾶσι, κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
ἐρχομένῳ ἐπέτελλε δόμοις ἔνι ποιητοῖσιν·
ἵπποισίν μ' ἐκέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα
ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας·
ἀλλ' ἐγὼ οὐ πιθόμην — ἦ τ' ἂν πολὺ κέρδιον ἦεν —
ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς
ἀνδρῶν Fειλομένων, εἰωθότες ἔδμεναι ἄδην.
ὣς λίπον, αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα,
τόξοισιν πίσυνος· τὰ δέ μ' οὐκ ἄρ' ἔμελλον ὀνήσειν.
ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν ἐφῆκα,
Τυδεΐδῃ τε καὶ Ἀτρεΐδῃ, ἐκ δ' ἀμφοτέροιιν
ἀτρεκὲς αἷμ' ἔσσευα βαλών, ἤγειρα δὲ μᾶλλον.
τῷ ῥα κακῇ αἴσῃ ἀπὸ πασσάλου ἀγκύλα τόξα
ἤματι τῷ ἑλόμην, ὅτε Ἴλιον εἰς ἐρατεινήν
ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίῳ.
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσιν

192 = Ξ 299 195 = Κ 473 196 = Θ 564 200 = Β 345
201 = Χ 103 204^b = Λ 230.

183 ἀθετεῖται schol. A 187 damnat Zen. 191 τίς: τοι C 194 damnasse fertur Zen. 203 ἄδην Ar.: ἄδδην AC et γρ. schol. A ἄδην D, cf. prol. p. 133· 205 ἔμελλον C: ἔμελλεν AD 206—8 damnavit Lachmann Betr. 20 210 ὅτε τ' C 211 μεταγράφουσί τινες 'Τρώεσσι φέρων χάριν ἱπποδάμοισιν' schol. A.

πατρίδ᾽ ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα, 9
αὐτίκ᾽ ἔπειτ᾽ ἀπ᾽ ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς,
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην
χερσὶ διακλάσσας· ἀνεμώλια γάρ μοι ὀπηδεῖ."
τὸν δ᾽ αὖτ᾽ Αἰνείας Τρώων ἀγὸς ἀντίον ηὔδα·
„μὴ δ᾽ οὕτως ἀγόρευε· πάρος δ᾽ οὐκ ἔσσεται ἄλλως,
πρίν γ᾽ ἐπὶ νὼ τῷδ᾽ ἀνδρὶ σὺν ἵπποισιν καὶ ὄχεσφιν
ἀντιβίην ἐλθόντε σὺν ἔντεσι πειρηθῆναι.
ἀλλ᾽ ἄγ᾽ ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα Fίδηαι,
οἷοι Τρώιοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ᾽ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι·
τὼ καὶ νῶι πόλινδε σαώσετον, εἴ περ ἂν αὖτε
Ζεὺς ἐπὶ Τυδεΐδῃ Διομήδεϊ κῦδος ὀρέξῃ.
ἀλλ᾽ ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα
δέξαι, ἐγὼ δ᾽ ἵππων ἐπιβήσομαι, ὄφρα μάχωμαι·
ἠὲ σὺ τόνδε δέδεξο, μελήσουσιν δ᾽ ἐμοὶ ἵπποι."
τὸν δ᾽ αὖτε προσέFειπε Λυκάονος ἀγλαὸς υἱός·
„Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ᾽ ἡνία καὶ τεὼ ἵππω·
μᾶλλον ὑφ᾽ ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
οἴσετον, εἴ περ ἂν αὖτε φεβώμεθα Τυδέος υἱόν·
μὴ τὼ μὲν δFείσαντε ματήσετον, οὐδ᾽ ἐθέλητον
ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον ποθέοντε,
νῶι δ᾽ ἐπαΐξας μεγαθύμου Τυδέος υἱός
αὐτώ τε κτείνῃ καὶ ἐλάσσῃ μώνυχας ἵππους.
ἀλλὰ σύ γ᾽ αὐτὸς ἔλαυνε τέ᾽ ἅρματα καὶ τεὼ ἵππω,
τόνδε δ᾽ ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέι δουρί."
ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες,
ἐμμεμαῶτ᾽ ἐπὶ Τυδεΐδῃ ἔχον ὠκέας ἵππους.
τοὺς δὲ Fίδε Σθένελος Καπανήιος ἀγλαὸς υἱός,
αἶψα δὲ Τυδεΐδην Fέπεα πτερόεντα προσηύδα·
„Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,

214 = π 102 221—3 = Θ 105—7 226—7 = Ρ 479—80
243 = Ε 826. Κ 234. Λ 608.

219 νῷ Cobet misc. crit. 259 — τῷδ᾽: τῷ D 121—5 sollicitavit M. Schmidt mel. hom. II 12 227 ἐπιβήσομαι C Zen.: ἀποβήσομαι AD Ar. 231 εἰωθότι ACD Ar.: εἰωθότε, quod exhibet cod. Vind. L, alios legisse significat schol. A 234 ποθέοντες D 237 ἀλλ᾽ αὐτὸς σύ γ᾽ C 239 φωνήσαντε — βάντε codd. dett.

ἄνδρ᾽ ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι, 9
Fῖν᾽ ἀπέλεθρον ἔχοντας. ὃ μὲν τόξων ἐὺ Fειδώς,
Πάνδαρος, υἱὸς δ᾽ αὖτε Λυκάονος εὔχεται εἶναι·
Αἰνείας δ᾽ υἱὸς μεγαλήτορος Ἀγχίσαο
εὔχεται ἐκγεγάμεν, μήτηρ δέ Fοί ἐστ᾽ Ἀφροδίτη.
ἀλλ᾽ ἄγε δὴ χαζώμεθ᾽ ἐφ᾽ ἵππων, μηδέ μοι οὕτως
θῦνε διὰ προμάχων, μή πως φίλον ἦτορ ὀλέσσῃς."
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα Fιδὼν προσέφη κρατερὸς Διομήδης·
„μή τι φόβονδ᾽ ἀγόρευ᾽, ἐπεὶ οὐδέ σε πεισέμεν οἴω·
οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι
οὐδὲ καταπτώσσειν· ἔτι μοι μένος ἔμπεδόν ἐστιν.
ὀκνείω δ᾽ ἵππων ἐπιβαινέμεν, ἀλλὰ καὶ αὔτως
ἀντίον εἶμ᾽ αὐτῶν· τρεῖν μ᾽ οὐκ ἐᾷ Παλλὰς Ἀθήνη.
τούτω δ᾽ οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες ἵπποι
ἄμφω ἀφ᾽ ἡμείων, εἴ γ᾽ οὖν ἕτερός γε φύγῃσιν.
ἄλλο δέ τοι Fερέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
αὐτοῦ ἐρυκακέειν, ἐξ ἄντυγος ἡνία τείνας,
Αἰνείαο δ᾽ ἐπαΐξαι μεμνημένος ἵππων,
ἐκ δ᾽ ἐλάσαι Τρώων μετ᾽ ἐυκνήμιδας Ἀχαιούς.
τῆς γάρ τοι γενεῆς, ἧς Τρωί περ εὐρύοπα Ζεύς
δῶχ᾽ υἷος ποινὴν Γανυμήδεος, οὕνεκ᾽ ἄριστοι
ἵππων ὅσσοι ἔασιν ὑπ᾽ ἠῶ τ᾽ ἠέλιόν τε,
τῆς γενεῆς ἔκλεψε Fάναξ ἀνδρῶν Ἀγχίσης,
λάθρῃ Λαομέδοντος ὑποσχὼν θήλεας ἵππους.
τῶν Fοι Fὲξ ἐγένοντο ἐνὶ μεγάροισι γενέθλης

247—8 = Γ 208—9 250a = Λ 342 251 = Δ 411 259 = Λ 297
264 = Ν 401.

245 ἔχοντε codd. dett. 247 θ᾽ υἱὸς C — μεγαλήτορος D et γρ. A: μὲν ἀμύμονος AC 249—50 damnasse videri Zenodotum dicit Aristonicus 252 fort πεῖσαι οἴω 253 ἐμοὶ Nauck 255 ὀκνῄω aeolicum reponi iubet Fick in Bezz. Beitr. VII 145 256 τρείειν μ᾽ οὐκ εἴα Ἀθήνη Ahrens in Phil. VI 29, τρεέμεν coni. Nauck, τρεῖν μ᾽ οὐκ ἐάᾳ γὰρ Ἀθήνη coni. Menrad — ἔα A et Herodianus 257 ὠκέας ἵππους C in text. 258 αἴ κ᾽ coni. Nauck 260 ὀρέξῃ κῦδος Ἀθήνη collato π 282 coni. Menrad 263 Αἰνείω (Αἰνείωο corr. Friedländer collato Ε 323) Zen. 264 ἐξελάσαι A in text. 265 ἧς: ἣν coni. Bekker Hom. Bl. II 13 267 post ἠέλιόν τε plene interpunxerunt ante Bekkerum
270 γενέθλης Wolf: γενέθλη AD γενέθλῃ C.

τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ᾿ ἐπὶ φάτνῃ, 9
τὼ δὲ δύ᾿ Αἰνείᾳ δῶκεν, μήστωρι φόβοιο.
εἰ τούτω γε λάβοιμεν, ἀροίμεθά κε κλέϝος ἐσθλόν."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
τὼ δὲ τάχ᾿ ἐγγύθεν ἦλθον, ἐλαύνοντ᾿ ὠκέας ἵππους.
τὸν πρότερος προσέϝειπε Λυκάονος ἀγλαὸς υἱός·
„καρτερόθυμε, δαΐφρον, ἀγαυοῦ Τυδέος υἱέ,
ἦ μάλα σ᾿ οὐ βέλος ὠκὺ δαμάσσατο, πικρὸς ὀιστός.
νῦν αὖτ᾿ ἐγχείῃ πειρήσομαι, αἴ κε τύχωμι."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος
καὶ βάλε Τυδεΐδαο κατ᾿ ἀσπίδα· ἣ δὲ διαπρό
αἰχμὴ χαλκείη πταμένη θώρηκι πελάσθη.
τῷ δ᾿ ἐπὶ μακρὸν ἄυσε Λυκάονος ἀγλαὸς υἱός·
„βέβληαι κενεῶνα διαμπερές, οὐδέ σ᾿ ὀίω
δηρὸν ἔτ᾿ ἀνσχήσεσθαι· ἐμοὶ δὲ μέγ᾿ εὖχος ἔδωκας."
τὸν δ᾿ οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης·
„ἤμβροτες, οὐδ᾿ ἔτυχες· ἀτὰρ οὐ μὲν σφῶί γ᾿ ὀίω
πρίν γ᾿ ἀποπαύσεσθαι, πρίν γ᾿ ἢ ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν."
ὣς φάμενος προέηκε· βέλος δ᾿ ἴθυνεν Ἀθήνη
ῥῖνα παρ᾿ ὀφθαλμόν, λευκοὺς δ᾿ ἐπέρησεν ὀδόντας.
τοῦ δ᾿ ἀπὸ μὲν γλῶσσαν πρυμνὴν τάμε χαλκὸς ἀτειρής,
αἰχμὴ δ᾿ ἐξέλυθεν παρὰ νείατον ἀνθερεῶνα.
ἤριπε δ᾿ ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε᾿ ἐπ᾿ αὐτῷ
αἰόλα παμφανόωντα, παρέτρεσσαν δέ ϝοι ἵπποι
ὠκύποδες· τοῦ δ᾿ αὖθι λύθη ψυχή τε μένος τε.
Αἰνείας δ᾿ ἀπόρουσε σὺν ἀσπίδι δουρί τε μακρῷ,
δϝείσας μή πώς ϝοι ϝερυσαίατο νεκρὸν Ἀχαιοί.

272^b = *Θ* 108 273^a = *Θ* 196 274 = *E* 431. *H* 464. *Θ* 212. *N* 81 . . . 280 = *Γ* 355 283 = 101 285^b = *Λ* 288 286 = *Λ* 384. *Υ* 430 288—9 = *X* 266—7 289 = *Υ* 78 294 = 58 296 = *Θ* 123. 315.

272 *μήστωρι* variam lectionem fuisse arguit schol. A et sic legit Plato Lach. 191 B: *μήστωρε* ACD Ar., cf. *Θ* 108 273 *τούτω γε* J. H. Voss: *τούτω κε* codd. 279 *τύχωμι* A: *τύχοιμι* CD 281 *ἡ δὲ* La Roche collatis *E* 66. *H* 260. *Υ* 276: *τῆς δὲ* codd. 288 *ἀποπαύσεσθαι* D et γρ. A: *ἀποπαύσασθαι* AC 293 *ἐξέλυθεν* scribendum esse docui Rh. Mus. XXXVI 37, quod, ut sero cognovi, iam occupaverat Ahrens Phil. IV 601: *ἐξελύθη* A Ar. *ἐξεσύθη* CD Zen. *ἐξεχύθη* Mosc.

ἀμφὶ δ᾿ ἄρ᾿ αὐτῷ βαῖνε λέων ὣς ἀλκὶ πεποιθώς, 9
πρόσθε δέ ϝοι δόρυ τ᾿ ἔσχε καὶ ἀσπίδα πάντοσ᾿ ἐϝίσην,
τὸν κτάμεναι μεμαώς, ὅς τις τοῦ γ᾿ ἀντίος ἔλθοι,
σμερδαλέα ϝιάχων. ὃ δὲ χερμάδιον λάβε χειρί
Τυδεΐδης, μέγα ϝέργον, ὃ οὐ δύο κ᾿ ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰσ᾿· ὃ δέ μιν ῥέα πάλλε καὶ οἶος.
τῷ βάλεν Αἰνείαο κατ᾿ ἰσχίον, ἔνθα τε μηρός
ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τέ μιν καλέουσιν·
θλάσσε δέ ϝοι κοτύλην, πρὸς δ᾿ ἄμφω ϝρῆξε τένοντε·
ὦσε δ᾿ ἀπὸ ϝρινὸν τρηχὺς λίθος. αὐτὰρ ὅ γ᾿ ἥρως
ἔστη γνὺξ ἐριπών, καὶ ἐρείσατο χειρὶ παχείῃ
γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψεν.
καί νύ κεν ἔνθ᾿ ἀπόλοιτο ϝάναξ ἀνδρῶν Αἰνείας,
εἰ μὴ ἄρ᾿ ὀξὺ νόησε Διὸς θυγάτηρ Ἀφροδίτη,
μήτηρ, ἥ μιν ὑπ᾿ Ἀγχίσῃ τέκε βουκολέοντι·
ἀμφὶ δὲ ϝὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ,
πρόσθε δέ ϝοι πέπλοιο φαεινοῦ πτύγμ᾿ ἐκάλυψεν,
ἕρκος ἔμεν βελέων, μή τις Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο.
ἣ μὲν ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο·
οὐδ᾿ υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων
τάων, ἃς ἐπέτελλε βοὴν ἀγαθὸς Διομήδης,
ἀλλ᾿ ὅ γε τοὺς μὲν ἑοὺς ἠρύκακε μώνυχας ἵππους
νόσφιν ἀπὸ φλοίσβου, ἐξ ἄντυγος ἡνία τείνας,
Αἰνείαο δ᾿ ἐπαΐξας καλλίτριχας ἵππους
ἐξέλασε Τρώων μετ᾿ ἐυκνήμιδας Ἀχαιούς,
δῶκε δὲ Δηιπύλῳ ἑτάρῳ φίλῳ, ὃν περὶ πάσης
τῖεν ὁμηλικίης, ὅτι ϝοι φρεσὶν ἄρτια ϝείδη,
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν. αὐτὰρ ὅ γ᾿ ἥρως

300—1 = *P* 7—8 302—4 = *Υ* 285—7 302 = *Θ* 321 304 = *M* 449 309—10 = *Λ* 355—6 312 = *Γ* 374 317^a = *Λ* 381 321—3 = 262—4 324 = *N* 401 327^a = *Λ* 274. *O* 259.

300 *πρόσθε δέ οἱ* Zen. in *P* 7 301 *ἀντίον* D . 303 *δύο κ᾿ ἄνδρε* Naber quaest. hom. p. 100 collato *M* 447: *δύο γ᾿ ἄνδρε* AC *δύο ἄνδρε* D, *ὃ κ᾿ οὐ δύω ἄνδρε* coni. Nauck 306 *ἰσχίῳ*: *ἰνίῳ* anecd. Oxon. II 372 310 *δέ ϝ᾿ ὄσσε* Herwerden quaest. ep. 6 314 *δὲ ὃν* A *δ᾿ ἑόν* CD, cf. prol. p. 155 317 *ἕλοιτο* codd. et Ar., quem *ὄλοιτο* scripsisse falso referre videtur schol. A: *ἕληται* Ven. N 318 *ἣ μὲν ϝὸν* malo 323 *Αἰνειῶο* (*Αἰνείω* cod. A) Zen. quod in *Αἰνείω ὁ* diducendum esse existimat Menrad 326 *ᾔδει* C.

Fῶν ἵππων ἐπιβὰς ἔλαβ᾽ ἡνία ειγαλόεντα, 9
αἶψα δὲ Τυδεΐδην μέθ᾽ ἔπε κρατερώνυχας ἵππους
ἐμμεμαώς. ὃ δὲ Κύπριν ἐπῴχετο νηλέι χαλκῷ,
γινώσκων ὅ τ᾽ ἄναλκις ἔην θεός, οὐδὲ θεάων
τάων, αἵ τ᾽ ἀνδρῶν πόλεμον κάτα κοιρανέουσιν,
οὔτ᾽ ἄρ᾽ Ἀθηναίη οὔτε πτολίπορθος Ἐνυώ.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκίχανε πολὺν καθ᾽ ὅμιλον ὀπάζων,
ἔνθ᾽ ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱός
ἄκρην οὔτασε χεῖρα μετάλμενος ὀξέι δουρί
ἀβληχρήν· εἶθαρ δὲ δόρυ χροὸς ἀντετόρησεν
ἀμβροσίου διὰ πέπλου, ὅν αἱ Χάριτες κάμον αὐταί,
πρυμνὸν ὕπερ θέναρος. ῥέFε δ᾽ ἄμβροτον αἷμα θεοῖο,
ἰχώρ, οἷός πέρ τε ῥέFει μακάρεσσι θεοῖσιν·
οὐ γὰρ σῖτον ἔδουσ᾽, οὐ πίνουσ᾽ αἴθοπα Fοῖνον·
τοὔνεκ᾽ ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.
ἣ δὲ μέγα Fιάχουσα ἀπὸ Fέο κάββαλεν υἱόν.
καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσσατο Φοῖβος Ἀπόλλων
κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο·
τῇ δ᾽ ἐπὶ μακρὸν ἄυσε βοὴν ἀγαθὸς Διομήδης·
„Fεῖκε, Διὸς θύγατερ, πολέμου καὶ δηιοτῆτος.
ἦ οὐ Fάλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;
εἰ δὲ σύ γ᾽ ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ᾽ ὀίω
ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χ᾽ ἑτέρωθι πύθηαι.“
ὣς ἔφαθ᾽, ἣ δ᾽ ἀλύουσ᾽ ἀπεβήσετο, τείρετο δ᾽ αἰνῶς.
τὴν μὲν ἄρ᾽ Ἶρις ἑλοῦσα ποδήνεμος ἔξαγ᾽ ὁμίλου

334b = *P* 462 346 = 317 347 = 101.

329 *Τυδείδην μέθεπεν* codd. *Τυδεΐδῃ ἔπεχεν* coni. Nauck — *κρατερωνύχεσ᾽ ἵπποις* Zen. 330 fort. *Κύπριδ᾽* 336—635 interciderunt in A 336 *δουρί*: *χαλκῷ* Lips. 338 *ὅ Fοι* coni. Heyne *ὅν αἵ* coni. Nauck, vulgata lectio iam obversata est auctori Cypr. fr. 3 et fortasse etiam Il. *Ξ* 178, cf. prol. p. 155 340 *ἰχὼρ οἷον* coni. Nauck 343 *κάμβαλεν* C 344 *ἐρύσατο* D: *ἐρύσσατο* C, duplicem litteram σ ubique in Homeri quidem carminibus, sive evellendi sive servandi vim verbum haberet, exarandam esse docuit Buttmann Lex. I 63 346 *ἕληται* C 348 *θυγάτηρ* C 350 *γρ. εἰ δὲ καὶ ἐς* schol. V 351 *πόλεμόνδε* C in textu et D 352 *ἀλύουσ᾽*: *ἀκέουσ᾽* Et. Gud. 25, 24 et Orion 4, 1 — *ἀπεβήσατο* C 353—431 interpolatos esse probabat La Roche Z. f. ö. G. 1863 p. 167 353 *τήν ἄρα Fῖρις* coni. Thiersch.

ἀχθομένην ὀδύνῃσι· μελαίνετο δὲ χρόα καλόν. 9
εὗρεν ἔπειτα μάχης ἐπ᾽ ἀριστερὰ θοῦρον Ἄρηα
ἥμενον· ἠέρι δ᾽ ἔγχος ἐκέκλιτο καὶ ταχέ᾽ ἵππω.
ἣ δὲ γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο
πολλὰ λισσομένη χρυσάμπυκας ᾔτεεν ἵππους·
„φίλε κασίγνητε, κόμισαί τέ με δός τέ μοι ἵππους,
ὄφρ᾽ ἐς Ὄλυμπον ἵκωμαι, ἵν᾽ ἀθανάτων ἕδος ἐστίν·
λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνήρ
Τυδεΐδης, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο.“
ὣς φάτο, τῇ δ᾽ ἄρ᾽ Ἄρης δῶκε χρυσάμπυκας ἵππους.
ἣ δ᾽ ἐς δίφρον ἔβαινεν ἀκηχεμένη φίλον ἦτορ·
πὰρ δὲ Fε Ἶρις ἔβαινε καὶ ἡνία λάζετο χερσίν,
μάστιξεν δ᾽ ἐλάαν· τὼ δ᾽ οὐκ ἀFέκοντε πετέσθην.
αἶψα δ᾽ ἔπειθ᾽ ἵκοντο θεῶν ἕδος, αἰπὺν Ὄλυμπον.
ἔνθ᾽ ἵππους ἔστησε ποδήνεμος ὠκέα Ἶρις
λύσασ᾽ ἐξ ὀχέων, παρὰ δ᾽ ἀμβρόσιον βάλεν εἶδαρ·
ἣ δ᾽ ἐν γούνασι πῖπτε Διώνης δῖ᾽ Ἀφροδίτη,
μητρὸς ἑῆς. ἣ δ᾽ ἀγκὰς ἐλάζετο θυγατέρα Fήν,
χειρί τέ μιν κατέρεξε, Fέπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζεν·
„τίς νύ σε τοιάδ᾽ ἔρεξε, φίλον τέκος, Οὐρανιώνων
μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;“
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα φιλομμειδὴς Ἀφροδίτη·
„οὖτά με Τυδέος υἱὸς ὑπέρθυμος Διομήδης,
οὕνεκ᾽ ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο
Αἰνείαν, ὃς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστιν.
οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνή,
ἀλλ᾽ ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται.“
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Διώνη δῖα θεάων·
„τέτλαθι, τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένη περ·
πολλοὶ γὰρ δὴ τλῆμεν Ὀλύμπια δώματ᾽ ἔχοντες
ἐξ ἀνδρῶν, χαλέπ᾽ ἄλγε᾽ ἐπ᾽ ἀλλήλοισι τιθέντες.

360 = *Θ* 456, cf *ξ* 42 365b = *P* 482 366 = *Θ* 45. *X* 400. *Λ* 281 368—9 = *E* 775—6. *N* 34—5. *Θ* 49—50 372 = *Α* 361 373—4 = *Φ* 509—10 375 = *Ξ* 193 382 = *Α* 586.

359 *κασίγνητ᾽ ἐκκόμισαι* A rec. — *δός τέ* C: *δὸς δέ* D 365 *Fε* Cobet misc. crit. 413 collato *χ* 233: *οἱ* codd. 366 *ἄκοντε* CD 374 *γρ. ἐνιπῇ* (corrige *ἐνωπὶ*) schol. B.

τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης,
παῖδες Ἀλωῆος, δῆcαν κρατερῷ ἐνὶ δεcμῷ·
χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τριcκαίδεκα μῆναc.
καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρηc ἄατοc πολέμοιο,
εἰ μὴ μητρυιὴ περικαλλὴc Ἠερίβοια
Ἑρμείᾳ Ἐξήγγειλεν· ὃ δ' ἐξέκλεψεν Ἄρηα
ἤδη τειρόμενον, χαλεπὸc δέ Fε δεcμὸc ἐδάμνα.
τλῆ δ' Ἥρη, ὅτε μιν κρατερὸc παῖc Ἀμφιτρύωνοc
δεξιτερὸν κατὰ μαζὸν ὀιcτῷ τριγλώχινι
βεβλήκει· τότε καί μιν ἀνήκεcτον λάβεν ἄλγοc.
τλῆ δ' Ἀίδηc ἐν τοῖcι πελώριοc ὠκὺν ὀιcτόν,
εὖτέ μιν ὡὐτὸc ἀνήρ, υἱὸc Διὸc αἰγιόχοιο,
ἐν Πύλῳ ἐν νεκύεccι βαλὼν ὀδύνῃcιν ἔδωκεν.
[cχέτλιοc, ὀβριμοFεργόc, ὃc οὐκ ὄθετ' αἴcυλα ῥέζων,
ὃc τόξοιcιν ἔκηδε θεούc, οἳ Ὄλυμπον ἔχουcιν.]
αὐτὰρ ὁ βῆ πρὸc δῶμα Διὸc καὶ μακρὸν Ὄλυμπον
κῆρ ἀχέων, ὀδύνῃcι πεπαρμένοc· αὐτὰρ ὀιcτόc
ὤμῳ ἔνι cτιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν.
τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάccων
ἠκέcατ'· οὐ μὲν γάρ τι καταθνητόc γ' ἐτέτυκτο.
cοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπιc Ἀθήνη.
νήπιοc, οὐδὲ τὸ Fοῖδε κατὰ φρένα Τυδέοc υἱόc,
ὅττι μάλ' οὐ δηναιὸc ὃc ἀθανάτοιcι μάχηται,
οὐδέ τί μιν παῖδεc ποτὶ γούναcι παππάζουcιν
ἐλθόντ' ἐκ πολέμοιο καὶ αἰνῆc δηιοτῆτοc.
τῷ νυν Τυδεΐδηc, εἰ καὶ μάλα καρτερόc ἐcτιν,
φραζέcθω μή τίc Fοι ἀμείνων cεῖο μάχηται,

393ª = *Λ* 507 400ᵇ = *Λ* 458 401—2 = 900—1 404ᵇ = *E* 890. *N* 68. *Ω* 427 410 = *N* 316.

385 *Ἐπιάλτης* Heraclid. all. c. 32 et Clemens protr. p. 25 388—381 spurii 388 *ἀπολώλε'* coni. Herwerden in Herm. XVI 355 — *ἆτος* codd., cf. prol. p. 177 390 *Ἑρμείᾳ 'ξήγγειλεν* scripsi: *Ἑρμείαι ἐξ.* A rec. *Ἑρμέᾳ ἐξ.* CD 391 *ἐδάμνη* Nauck, cf. prol. p. 148 394 *καί μιν* et *κέν μιν* Ar. teste schol. V *καί περ* C 397 *πύλῳ ἀντὶ τοῦ πύλῃ* Ar. 398—402 eiecit Köchly, equidem spurios versus 403—4 ut ante versum 398 collocarentur destinatos duco 403 *αἰσυλοεργός* Ar. — *ὃς*: *ὅτ'* schol. V 406 *κατὰ φρένα καὶ κατὰ θυμόν* Eust. 407 *μάχοιτο* C 408 *γρ. οὐδέ τέ μιν* schol. V.

μὴ δFὴν Αἰγιάλεια περίφρων Ἀδρηcτίνη
ἐξ ὕπνου γοόωcα φίλουc Fοικῆαc ἐγείρῃ,
κουρίδιον ποθέουcα πόcιν, τὸν ἄριcτον Ἀχαιῶν.
[ἰφθίμη ἄλοχοc Διομήδεοc ἱπποδάμοιο."]
ἦ ῥα, καὶ ἀμφοτέρῃcιν ἀπ' ἰχῶρ χειρὸc ὀμόργνυ·
ἄλθετο χείρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.
αἳ δ' αὖτ' εἰcορόωcαι Ἀθηναίη τε καὶ Ἥρη
κερτομίοιcι Fέπεccι Δία Κρονίδην ἐρέθιζον.
τοῖcι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπιc Ἀθήνη·
„Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώcεαι ὅττι κε Fείπω;
ἦ μάλα δή τινα Κύπριc Ἀχαιιάδων ἀνιεῖcα
Τρωcὶν ἅμ' ἑcπέcθαι, τοὺc νῦν ἔκπαγλα φίληcεν,
τῶν τινα καρρέζουcα Ἀχαιιάδων εὐπέπλων
πρὸc χρυcέῃ περόνῃ καταμύξατο χεῖρα Fαραιήν."
ὣc φάτο, μείδηcεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί ῥα καλεccάμενοc προcέφη χρυcέην Ἀφροδίτην·
„οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια Fέργα,
ἀλλὰ cύ γ' ἱμερόεντα μετέρχεο Fέργα γάμοιο·
ταῦτα δ' Ἄρηι θοῷ καὶ Ἀθήνῃ πάντα μελήcει."
ὣc οἳ μὲν τοιαῦτα πρὸc ἀλλήλουc ἀγόρευον,
Αἰνείᾳ δ' ἐπόρουcε βοὴν ἀγαθὸc Διομήδηc,
γινώcκων ὅ Fοι αὐτὸc ὑπείρεχε χεῖραc Ἀπόλλων.
ἀλλ' ὅ γ' ἄρ' οὐδὲ θεὸν μέγαν ἅζετο, Fίετο δ' αἰεί
Αἰνείαν κτεῖναι καὶ ἀπὸ κλυτὰ τεύχεα δῦcαι.
τρὶc μὲν ἔπειτ' ἐπόρουcε κατακτάμεναι μενεαίνων,
τρὶc δέ Fοι ἐcτυφέλιξε φαεινὴν ἀcπίδ' Ἀπόλλων.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέccυτο δαίμονι Fῖcοc,
δFεινὰ δ' ὁμοκλήcαc προcέφη Fεκάεργοc Ἀπόλλων·
„φράζεο, Τυδεΐδη, καὶ χάζεο, μηδὲ θεοῖcιν

421 = *E* 762. *α* 158 426 = *O* 47 431 = *E* 274 437 cf. *Π* 703—4 438—9 = *Π* 705—6. *Υ* 447—8.

415 ante 413 collocari iussit Cobet misc. crit. p. 369, ipse uncinis inclusi 416 *ἰχῶ* Ambr. — *χερσὶν* Zen. 418—431 damnavit Haupt in Lachm. Betr. 106, atque apte quidem versu 417 carmen finiri poterat. 419 *κερτομίοις ἐπέεσσι* codd., cf. prol. § 85 422 *ἐνιεῖσα* Ambr. 423 *ἅμ' ἑσπέσθαι* A rec. et Ambr.: *ἅμα σπέσθαι* CD soloece — *ἔκπαγλ' ἐφιλ.* codd. 424 *Ἀχαιιάδων βαθυκόλπων* Plut. symp. IX 4, 2 425 *χρυσῇ* codd. — *καταμύξατο* Ar.: *κατεμύξατο* CD 427 *χρυσῆν* codd. 431 ab hoc versu ante partes Sarpedonis veteri Iliadi invectas altera pars libri incipiebat, cf. *E* 471.

Fῖc᾽ ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ᾽ ἀνθρώπων.“
ὣc φάτο, Τυδεΐδηc δ᾽ ἀνεχάζετο τυτθὸν ὀπίccω, 9
μῆνιν ἀλευάμενοc Fεκατηβόλου ᾿Απόλλωνοc.
Αἰνείαν δ᾽ ἀπάτερθεν ὁμίλου θῆκεν ᾿Απόλλων
Περγάμῳ εἰν ἱερῇ, ὅθι Fοι νηόc γ᾽ ἐτέτυκτο.
ἦ τοι τὸν Λητώ τε καὶ Ἄρτεμιc ἰοχέFαιρα
ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε κύδαινόν τε·
αὐτὰρ ὁ Fείδωλον τεῦξ᾽ ἀργυρότοξοc ᾿Απόλλων
αὐτῷ τ᾽ Αἰνείᾳ Fίκελον καὶ τεύχεcι τοῖον,
ἀμφὶ δὲ Fειδώλῳ Τρῶεc καὶ δῖοι ᾿Αχαιοί
δῄουν ἀλλήλων ἀμφὶ cτήθεcci βοείαc,
ἀcπίδαc εὐκύκλουc λαιcήιά τε πτερόεντα.
δὴ τότε θοῦρον Ἄρηα προcηύδα Φοῖβοc ᾿Απόλλων·
„Ἆρεc, Ἆρεc βροτολοιγέ, μιαιφόνε, τειχεcιπλῆτα,
οὐκ ἂν δὴ τόνδ᾽ ἄνδρα μάχηc Fερύcαιο μετελθών,
Τυδεΐδην, ὃc νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο;
Κύπριδα μὲν πρῶτον cχεδὸν οὔταcε χεῖρ᾽ ἐπὶ καρπῷ,
αὐτὰρ ἔπειτ᾽ αὐτῷ μοι ἐπέccυτο δαίμονι Fῖcoc.“
ὣc Fειπὼν αὐτὸc μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ,
Τρῳὰc δὲ cτίχαc οὖλοc Ἄρηc ὤτρυνε μετελθών,
Fειδόμενοc ᾿Ακάμαντι θοῷ ἡγήτορι Θρηκῶν.
υἱάcι δὲ Πριάμοιο διοτρεφέεcci κέλευεν·
„ὦ υἷεc Πριάμοιο διοτρεφέοc βαcιλῆοc,
ἐc τί ἔτι κτείνεcθαι ἐάcετε λαὸν ᾿Αχαιοῖc;
ἦ ἐc ὅ κ᾽ ἀμφὶ πύληc ἐῢ ποιητῇcι μάχωνται;
κεῖται ἀνήρ, ὃν Fῖcoν ἐτίομεν Ἕκτορι δίῳ,
Αἰνείαc, υἱὸc μεγαλήτοροc ᾿Αγχίcαo.
ἀλλ᾽ ἄγετ᾽ ἐκ φλοίcβοιο caώcομεν ἐcθλὸν ἑταῖρον'“
ὣc Fειπὼν ὤτρυνε μένοc καὶ θυμὸν ἑκάcτου.

443—4 = *Π* 710—11 452—3 = *M* 425—6 455 = 31 458[b] = *P* 601 468 = 247 470 = Z 72. *Λ* 291. *N* 155. *O* 500 . .

443 *τυτθὸν* codd. Ar.: *γρ. πολλὸν* schol. Lips. 444 *ἀλευόμενος* Ar. 446 *ἐν* CD 447 *κήδευον* vel *κήδαινον* Herwerden in Herm. XVI 355 451 *δ᾽ ἄρ᾽* codd. 452 *δῄοον* coni. Nauck — *στήθεσσι* AC: *στήθεσφι* D 461 *Τρῶας* D et *γρ.* Eust. — *οὖλος*: *γρ. ἠλὸς* epim. Hom. 442, 15 463 *κέλευσεν* C 464 *υἷες* Nauck: *υἱεῖς* codd. 465 *᾿Αχαιῶν* C, unde *μαί νεσθαι ἐάσετε λαὸν ᾿Αχαιῶν* coni. Nauck 466 *ἐς ὅ κ᾽* Nauck: *εἰσόκεν* CD — *ποιητῇσι* CD Zen.: *ποιητοῖσι* Ar. 469 *φλοίσβου* C 470 *θυμόν τε Fεκάστου* Bentley, cf. prol. p. 159

ΔΙΟΜΗΔΟΥΣ ΚΑΙ ΣΑΡΠΗΔΟΝΟΣ ΑΡΙΣΤΕΙΑΙ.

Ἔνθ᾽ αὖ Σαρπηδὼν μάλα νείκεσεν Ἕκτορα δῖον· 10
„Ἕκτορ, πῇ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;
φῆς που ἄτερ λαῶν πόλιν ἑξέμεν ἠδ᾽ ἐπικούρων
οἶος, σὺν γαμβροῖσι κασιγνήτοισί τε σοῖσιν.
τῶν νῦν οὔ τιν᾽ ἐγὼ Fιδέειν δύναμ᾽ οὐδὲ νοῆσαι,
ἀλλὰ καταπτώσσουσι, κύνες ὣς ἀμφὶ λέοντα·
ἡμεῖς δ᾽ αὖ μαχόμεσθ᾽, οἵ πέρ τ᾽ ἐπίκουροι ἔνειμεν.
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μάλα τηλόθεν ἵκω·
τηλοῦ γὰρ Λυκίη Ξάνθῳ ἔπι δινήεντι·
ἔνθ᾽ ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱόν,
κὰδ δὲ κτήματα πολλά, τὰ Fέλδεται ὅς κ᾽ ἐπιδευής·
ἀλλὰ καὶ ὧς Λυκίους ὀτρύνω, καὶ μέμον᾽ αὐτός
ἀνδρὶ μαχήσασθαι· ἀτὰρ οὔ τί μοι ἐνθάδε τοῖον,
οἷόν κ᾽ ἠὲ φέροιεν ᾿Αχαιοὶ ἤ κεν ἄγοιεν.
τύνη δ᾽ ἕστηκας, ἀτὰρ οὐδ᾽ ἄλλοισι κελεύεις
λαοῖσιν μενέμεν καὶ ἀμυνέμεναι ὀάρεσσιν.
μή πως, ὡς ἀψῖσι λίνου Fαλόντε πανάγρου,
ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε·
οἳ δὲ τάχ᾽ ἐκπέρσουσ᾽ εὖ ναιομένην πόλιν ὑμήν.
σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτας τε καὶ ἦμαρ,
ἀρχοὺς λισσομένῳ τηλεκλειτῶν ἐπικούρων
νωλεμέως ἐχέμεν, κρατερὴν δ᾽ ἀποθέσθαι ἐνιπήν.“
ὣς φάτο Σαρπηδών, δάκε δὲ φρένας Ἕκτορι μῦθος.

471[a] = *E* 1 471 sqq. cf. *P* 140 sqq. 483[a] = *Γ* 393. *N* 118

471—909 hoc alterum carmen libri quinti cum priore et arcte coniunctum et uno tenore, ut videtur, panctum ita tamen rebus Sarpedonis et Lyciorum invectis amplificatum et, ut prope novum carmen fieret, in quo laudibus Diomedis laudes Sarpedonis adiectae sunt, cf. *E* 508—511 et prol. p. 30 471—496 eiecit Köchly, 471—492 damnavit Giseke Hom. Forsch. p. 235 475 *ἐγὼν ἰδέειν* CD *ἐγὼ ἰδέειν* GMO 477 *δ᾽ αὖ*: *τε* C 478 *ἵκω* Bekker: *ἥκω* codd., cf. La Roche Hom. Text. 287 481 *τά τ᾽* CD — *ὅσ τ᾽* C 483 *μαχέσασθαι* C *μαχέσσασθαι* D 486 *ὤρεσσι* codd., cf. Bekker Hom. Bl. I 39 et prol. p. 179 487 *λίνου πανάγροιο Fαλόντες* Bentley *λίνοιο Fαλόντε παν.* Heyne 488 *γένοισθε* C 489 *ἐκπέρσουσιν* D 491 *τηλεκλητῶν* C 492 *κρατερὴν* CD: *χαλεπὴν* codd. dett.

10

αὐτίκα δ᾽ ἐξ ὀχέων cὺν τεύχεcιν ἆλτο χαμᾶζε,
πάλλων δ᾽ ὀξέα δοῦρε κατὰ cτρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέcαcθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἳ δ᾽ ἐϜελίχθηcαν καὶ ἐναντίοι ἔcταν Ἀχαιῶν.
Ἀργεῖοι δ᾽ ὑπέμειναν ἀολλέεc οὐδ᾽ ἐφόβηθεν.
ὡc δ᾽ ἄνεμοc ἄχναc φορέει ἱερὰc κατ᾽ ἀλωάc
ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ
κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχναc·
αἳ δ᾽ ὑπολευκαίνονται ἀχυρμιαί· ὣc τότ᾽ Ἀχαιοί
λευκοὶ ὕπερθε γένοντο κονιcάλῳ, ὅν ῥα δι᾽ αὐτῶν
οὐρανὸν ἐc πολύχαλκον ἐπέπληγον πόδεc ἵππων,
ἂψ ἐπιμιcγομένων· ὑπὸ δ᾽ ἔcτρεφον ἡνιοχῆεc.
οἳ δὲ μένοc χειρῶν ἰθὺc φέρον. ἀμφὶ δὲ νύκτα
θοῦροc Ἄρηc ἐκάλυψε μάχῃ Τρώεccιν ἀρήγων,
πάντοσ᾽ ἐποιχόμενος· τοῦ δ᾽ ἐκραίαινεν ἐφετμάς
Φοίβου Ἀπόλλωνος χρυσαόρου, ὅς μιν ἀνώγει
Τρωσὶν θυμὸν ἐγεῖραι, ἐπεὶ Ϝίδε Παλλάδ᾽ Ἀθήνην
οἰχομένην· ἣ γάρ ῥα πέλεν Δαναοῖσιν ἀρηγών.
αὐτὸc δ᾽ Αἰνείαν μάλα πίονοc ἐξ ἀδύτοιο
ἧκε, καὶ ἐν cτήθεccι μένοc βάλε ποιμένι λαῶν.
Αἰνείαc δ᾽ ἑτάροιcι μεθίcτατο· τοὶ δ᾽ ἐχάρηcαν,
ὡc ἔϜιδον ζωόν τε καὶ ἀρτεμέα προcιόντα
καὶ μένοc ἐcθλὸν ἔχοντα. μετάλληcάν γε μὲν οὔ τι·
οὐ γὰρ ἔα πόνοc ἄλλοc, ὃν ἀργυρότοξοc ἔγειρεν
Ἄρηc τε βροτολοιγὸc Ἔριc τ᾽ ἄμοτον μεμαυῖα.
    τοὺc δ᾽ Αἴαντε δύω καὶ Ὀδυccεὺc καὶ Διομήδηc
ὤτρυνον Δαναοὺc πολεμιζέμεν· οἳ δὲ καὶ αὐτοί
οὔτε βίαc Τρώων ὑπεδείδιcαν οὔτε ἰωκάc.
ἀλλ᾽ ἔμενον νεφέληcι ϜεϜοικότεc, ἅc τε Κρονίων

494 = *Γ* 29 494—7 = Ζ 103—6. *Λ* 211—4. 497 = *P* 343 507—11 cf. *Ξ* 391 515 = *H* 308 522^{b} = *Λ* 27.

494 *Ἕκτωρ δ᾽ αὐτίκα* olim initium versus fuisse coniecit Giseke l. l. 495 *δοῦρε* Bekker collatis *Γ* 18. *Λ* 43. *Π* 139. *μ* 220. *χ* 25: *δοῦρα* codd. 497 *ἐλελίχθησαν* codd., cf. prol. p. 159 501 *κρίνῃ* A rec.: *κρίνει* CD 503 *κονισσάλω* codd. dett. 508—511 spurios esse et in versu 512 *Φοῖβος δ᾽ Αἰνείαν* reponendum esse docuit Haupt in Lachm. Betr. p. 107, cf. prol. p. 23 508—593 damnavit Holm de aliquot Iliadis carm. p. 5, dubito an vere, ut paene me poeniteat quod hos versus non inclinatis litteris describendos curavi 508 *ἐκράϜαινε* coni. Wackernagel 511 *ἀρηγών* Ar.: *ἀρηγός* CD 516 *οὐδέν* D 521 *Ϝιωκάς* Bekker.

10

νηνεμίηc ἔcτηcεν ἐπ᾽ ἀκροπόλοιcιν ὄρεccιν
ἀτρέμαc, ὄφρ᾽ εὕδῃcι μένοc Βορέαο καὶ ἄλλων
ζαχρειῶν ἀνέμων, οἵ τε νέφεα cκιόεντα
πνοιῇcιν λιγυρῇcι διαcκιδνᾶcιν ἀϜέντεc.
ὣc Δαναοὶ Τρῶαc μένον ἔμπεδον οὐδ᾽ ἐφέβοντο.
Ἀτρεΐδηc δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα πολλὰ κελεύων·
„ὦ φίλοι, ἀνέρεc ἔcτε καὶ ἄλκιμον ἦτορ ἕλεcθε,
ἀλλήλουc τ᾽ αἰδεῖcθε κατὰ κρατερὰc ὑcμίναc.
αἰδομένων δ᾽ ἀνδρῶν πλέονεc cόοι ἠὲ πέφανται·
φευγόντων δ᾽ οὔτ᾽ ἂρ κλέϜοc ὄρνυται οὔτε τιc ἀλκή."
    ἦ, καὶ ἀκόντιcε δουρὶ θοῶc, βάλε δὲ πρόμον ἄνδρα,
Αἰνείω ἕταρον μεγαθύμου, Δηικόωντα
Περγαcίδην, ὃν Τρῶεc ὁμῶc Πριάμοιο τέκεccιν
τῖον, ἐπεὶ θοὸc ἔcκε μετὰ πρώτοιcι μάχεcθαι.
τόν ῥα κατ᾽ ἀcπίδα δουρὶ βάλε κρείων Ἀγαμέμνων·
ἣ δ᾽ οὐκ ἔγχοc ἔρυτο, διαπρὸ δ᾽ ἐείcατο χαλκόc,
νειαίρῃ δ᾽ ἐν γαcτρὶ διὰ ζωcτῆροc ἔλαccεν.
δούπηcεν δὲ πεcών, ἀράβηcε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
    ἔνθ᾽ αὖτ᾽ Αἰνείαc Δαναῶν ἕλεν ἄνδραc ἀρίcτουc,
υἷε ΔιοκλεϜέοc Κρήθωνά τε Ὀρcίλοχόν τε,
τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐυκτιμένῃ ἐνὶ Φηρῇ
ἀφνειὸc βιότοιο, γένοc δ᾽ ἦν ἐκ ποταμοῖο
Ἀλφειοῦ, ὅc τ᾽ εὐρὺ ῥέϜει Πυλίων διὰ γαίηc·
ὃc τέκετ᾽ Ὀρcίλοχον πολέεcc᾽ ἄνδρεccι Ϝάνακτα,
Ὀρcίλοχοc δ᾽ ἄρ᾽ ἔτικτε ΔιοκλεϜέα μεγάθυμον,
ἐκ δὲ ΔιοκλεϜέοc διδυμάονε παῖδε γενέcθην,
Κρήθων Ὀρcίλοχόc τε, μάχηc ἐὺ Ϝειδότε πάcηc.
τὼ μὲν ἄρ᾽ ἡβήcαντε μελαινάων ἐπὶ νηῶν
Ἴλιον εἰc εὔπωλον ἅμ᾽ Ἀργείοιcιν ἑπέcθην,
τιμὴν Ἀτρεΐδῃc Ἀγαμέμνονι καὶ Μενελάῳ

525^{b} = *Λ* 63. *M* 157 527 = *O* 622 528 = *Γ* 449 529—31 = *O* 561—4 538—9 = *P* 518—9 540 = *Δ* 504 549^{b} = 11 552 cf. *Λ* 159.

525 *ζαχρειῶν* codd. *ζαχρειῶν* et *ζαχρηῶν* Hesychius et Eust., fort. *ζαχραϜέων*, cf. *M* 347 528—589 expulit Köchly 531 *αἰδομένων ἀνδρ.* *O* 563 534 *Αἰνείεω* CD 538 *δὲ εἴσατο* codd. — *χαλκός* A rec.: *καὶ τῆς* CD, cf. *P* 518 542 *Διοκλῆος* codd. hic et 547. 548., cf. prol. p. 169. *Κρίθωνά* D 543 *Φηρῇ*: fort. *Φηραῖς*, sed vide prol. p. 104 546 *ὅς ῥα τέκ᾽* malo — *γρ.* *Ὀρτίλοχον* D 547 *Ὀρτίλοχος* Zen.

ἀρνυμένω· τὼ δ' αὖθι τέλος θανάτοιο κάλυψεν. 10
οἵω τώ γε λέοντε δύω ὄρεος κορυφῇσιν
ἐτραφέτην ὑπὸ μητρὶ βαθείης τάρφεσιν ὕλης·
τὼ μὲν ἄρ' ἁρπάζοντε βόας καὶ Ϝίφια μῆλα
σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ
ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέϊ χαλκῷ·
τοίω τὼ χείρεσσιν ὑπ' Αἰνείαο δαμέντε
καππεσέτην, ἐλάτῃσι ϜεϜοικότες ὑψηλῇσιν.
τὼ δὲ πεσόντ' ἐλέησεν ἀρηΐφιλος Μενέλαος,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
σείων ἐγχείην· τοῦ δ' ὤτρυνεν μένος Ἄρης,
τὰ φρονέων, ἵνα χερσὶν ὑπ' Αἰνείαο δαμείη.
τὸν δὲ Ϝίδ' Ἀντίλοχος μεγαθύμου Νέστορος υἱός,
βῆ δὲ διὰ προμάχων, περὶ γὰρ δίε ποιμένι λαῶν,
μή τι πάθοι, μέγα δέ σφας ἀποσφήλειε πόνοιο.
τὼ μὲν δὴ χεῖράς τε καὶ ἔγχεα ὀξυόεντα
ἀντίον ἀλλήλων ἐχέτην μεμαῶτε μάχεσθαι·
Ἀντίλοχος δὲ μάλ' ἄγχι παρίστατο ποιμένι λαῶν.
Αἰνείας δ' οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστής,
ὡς ἔϜιδεν δύο φῶτε παρ' ἀλλήλοισι μένοντε.
οἳ δ' ἐπεὶ οὖν νεκροὺς Ϝέρυσαν μετὰ λαὸν Ἀχαιῶν,
τὼ μὲν ἄρα δϜειλὼ βαλέτην ἐν χερσὶν ἑταίρων,
αὐτὼ δὲ στρεφθέντε μετὰ πρώτοισι μαχέσθην.
ἔνθα Πυλαιμένεα ἑλέτην ἀτάλαντον Ἄρηι,
ἀρχὸν Παφλαγόνων μεγαθύμων ἀσπιστάων.
τὸν μὲν ἄρ' Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος
ἑσταότ' ἔγχεϊ νύξε, κατὰ κληϜῖδα τυχήσας·
Ἀντίλοχος δὲ Μύδωνα βάλ' ἡνίοχον θεράποντα,
ἐσθλὸν Ἀτυμνιάδην — ὃ δ' ὑπέστρεφε μώνυχας ἵππους —
χερμαδίῳ ἀγκῶνα τυχὼν μέσον· ἐκ δ' ἄρα χειρῶν

561 = *P* 346 562 = *Δ* 495 565[b] = *N* 400 566[a] = *Δ* 495 571 = *O* 585 579[b] = *M* 189 580[b] = *Θ* 119. *M* 111.

554 *οἵω θῆρε λέοντε* coni. Nauck *τὼ οἵω τε λέοντε* coni. Foerstemann 560 *ἐοικότε* codd. dett. — *ὑψηλοῖσι* C 567 *πάθοι* LO: *πάθῃ* CD — *σφας* schol. V: *σφέας* CD *σφε* coni. Ahrens in Phil. VI 26 576—589 una cum *N* 658 9 in suspicionem vocavit Od. Müller Gr. Lit. I 91 — *Ζηνόδοτος ἔγραψεν ὁτὲ μὲν* (*E* 576) *Πυλαιμένεα ὁτὲ δὲ* (*N* 643) *Κυλαιμένεα* cod. Ven. A fol. 8 576 *Ϝελέτην* et 684 *Ϝέλωρ* poetam pronuntiasse duco, cf. *A* 4 578 *δουρικλυτὸς* CD.

ἡνία λεύκ' ἐλέφαντι χαμαὶ πέσον ἐν κονίῃσιν. 10
Ἀντίλοχος δ' ἄρ' ἐπαΐξας ξίφει ἤλασε κόρσην·
αὐτὰρ ὅ γ' ἀσθμαίνων εὐϜεργέος ἔκπεσε δίφρου
κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους.
δηθὰ μάλ' ἑστήκει — τύχε γάρ ῥ' ἀμάθοιο βαθείης —,
ὄφρ' ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃσιν,
τοὺς ἵμασ' Ἀντίλοχος, μετὰ δὲ στρατὸν ἤλασ' Ἀχαιῶν.
τοὺς δ' Ἕκτωρ ἐνόησε κατὰ στίχας, ὦρτο δ' ἐπ' αὐτούς
κεκληγώς· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες
καρτεραί. ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ,
ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηιοτῆτος·
Ἄρης δ' ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα,
φοίτα δ' ἄλλοτε μὲν πρόσθ' Ἕκτορος, ἄλλοτ' ὄπισθεν.
τὸν δὲ Ϝιδὼν ῥίγησε βοὴν ἀγαθὸς Διομήδης.
ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος, ἰὼν πολέος πεδίοιο,
στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ ἅλαδε προρέϜοντι,
ἀφρῷ μορμύροντα Ϝιδών, ἀνά τ' ἔδραμ' ὀπίσσω,
ὡς τότε Τυδεΐδης ἀνεχάζετο, Ϝεῖπέ τε λαῷ·
„ὦ φίλοι, οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
τῷ δ' αἰεὶ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει·
καὶ νῦν Ϝοι πάρα κεῖνος Ἄρης βροτῷ ἀνδρὶ ϜεϜοικώς.
ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω
Ϝείκετε, μηδὲ θεοῖς μενεαίνετε Ϝῖφι μάχεσθαι."
ὣς ἄρ' ἔφη, Τρῶες δὲ μάλα σχεδὸν ἤλυθον αὐτῶν.
ἔνθ' Ἕκτωρ δύο φῶτε κατέκτανε Ϝειδότε χάρμης
εἰν ἑνὶ δίφρῳ ἐόντε, Μενεσθῆ' Ἀγχίαλόν τε.
τὼ δὲ πεσόντ' ἐλέησε μέγας Τελαμώνιος Αἴας,
στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,

584[b] = *N* 576 585 = *N* 399 590—1 = *Λ* 343—4 596 = *Δ* 345 597 cf. *Δ* 244 602 = *Π* 493. *X* 269 603 = *Υ* 98 609[a] = 160 610 = 561 et 364 611 = *Δ* 496.

587 *ἑστήκει* Ar.: *εἱστήκει* codd. — *γὰρ ἀμάθοιο* codd. dett. 589 offensioni est propter simile principium versus sequentis — *τοὺς* codd.: *τοὺς δ' ἵμασ'* Bekker 598 *στήῃ* C 603 *πάρ' ἕεις* coni. Nauck 606 *θεῷ* coni. Nauck, cf. prol. § 85 — *μενεαίνετε* Heyne: *μενεαινέμεν* codd. 608—698 eiecit Köchly, 628—698 damnavit Giseke Hom. Forsch. p. 235 609 *Μενεσθῆ'* scripsi: *Μενεσθῆν* Ar. *Μενέσθην* codd., *γρ. Μενέστην* schol. V.

καὶ βάλεν Ἄμφιον Σελάγου υἱόν, ὅς ῥ' ἐνὶ Παισῷ 10
ναῖε πολυκτήμων πολυλήιος· ἀλλά ϝε μοῖρα
ἦγ' ἐπικουρήσοντα μετὰ Πρίαμόν τε καὶ υἷας.
τόν ῥα κατὰ ζωστῆρα βάλεν Τελαμώνιος Αἴας,
νειαίρῃ δ' ἐν γαστρὶ πάγη δολιχόσκιον ἔγχος,
δούπησεν δὲ πεσών. ὃ δ' ἐπέδραμε φαίδιμος Αἴας
τεύχεα συλήσων· Τρῶες δ' ἐπὶ δούρατ' ἔχευαν
ὀξέα παμφανόωντα· σάκος δ' ἀνεδέξατο πολλά.
αὐτὰρ ὃ λὰξ προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος
ἐσπάσατ'· οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλά
ὤμοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
δϝεῖσε δ' ὅ γ' ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων,
οἳ πολλοί τε καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε' ἔχοντες,
οἵ ϝε μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυόν
ὦσαν ἀπὸ σφείων· ὃ δὲ χασσάμενος πελεμίχθη.
    ὣς οἳ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην.
Τληπόλεμον δ' Ἡρακλεϝίδην ἠύν τε μέγαν τε
ὦρσεν ἐπ' ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
υἱός θ' υἱωνός τε Διὸς νεφεληγερέταο,
τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔϝειπεν·
„Σαρπῆδον Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
πτώσσειν ἐνθάδ' ἐόντι μάχης ἀδαήμονι φωτί;
ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν,
οἳ Διὸς ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων.
ἀλλοῖόν τινά φασι βίην Ἡρακληείην
εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα θυμολέοντα,
ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος
ἓξ οἴῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν

615[a] = *P* 578   617 = *Δ* 504 et *H* 187   620—2 = *N* 509—11
625—6 = *Δ* 534—5   627 = 84   628 = *B* 653   629[b] = 83
630 = *Γ* 15   632 = *N* 306. *π* 460.

612 ἐν Ἀπαισῷ auctor catalogi *B* 828 legisse videtur   614 ἦκ' C   620 προβὰς CD   630 γρ. ἰόντε schol. Lips.   636 ἔμμεν coni. Nauck   638 ἀλλ' οἷον Ar. — Ἡρακλείην Zen.   640 ὅς: ὡς Ambr.   641 οἴῃσιν νηυσὶ D, dubito an recte, nisi transpositione οἴῃσ' ἓξ σὺν locum sanare mavis, cf. prol. § 85.

Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς. 10
σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί.
οὐδέ τί σε Τρώεσσιν ὀίομαι ἄλκαρ ἔσεσθαι
ἐλθόντ' ἐκ Λυκίης, οὐδ' εἰ μάλα καρτερός ἐσσι,
ἀλλ' ὑπ' ἐμοὶ δμηθέντα πύλας Ἀίδαο περήσειν."
    τὸν δ' αὖ Σαρπηδὼν Λυκίων ἀγὸς ἀντίον ηὔδα·
„Τληπόλεμ', ἦ τοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρήν
ἀνέρος ἀφραδίῃσιν, ἀγαυοῦ Λαομέδοντος,
ὅς ῥά μιν εὖ ϝέρξαντα κακῷ ἠνίπαπε μύθῳ,
οὐδ' ἀπέδωχ' ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθεν.
σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄιδι κλυτοπώλῳ."
    ὣς φάτο Σαρπηδών, ὃ δ' ἀνέσχετο μείλινον ἔγχος
Τληπόλεμος. καὶ τῶν μὲν ἁμαρτῇ δούρατα μακρά
ἐκ χειρῶν ἤιξαν. ὃ μὲν βάλεν αὐχένα μέσσον
Σαρπηδών, αἰχμὴ δὲ διαμπερὲς ἦλθ' ἀλεγεινή·
τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Τληπόλεμος δ' ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
βεβλήκειν, αἰχμὴ δὲ διέσσυτο μαιμώωσα,
ὀστέῳ ἐγχρίμφθεῖσα· πατὴρ δ' ἔτι λοιγὸν ἄμυνεν.
    οἳ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
ἐξέφερον πολέμοιο· βάρυνε δέ μιν δόρυ μακρόν
ἑλκόμενον. τὸ μὲν οὔ τις ἐπεφράσατ' οὐδ' ἐνόησεν
μηροῦ ἐκϝερύσαι δόρυ μείλινον, ὄφρ' ἐπιβαίη,
σπευδόντων· τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες.
Τληπόλεμον δ' ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοί
ἐξέφερον πολέμοιο· νόησε δὲ δῖος Ὀδυσσεύς
τλήμονα θυμὸν ἔχων, μαίμησε δέ ϝοι φίλον ἦτορ.
μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
ἢ προτέρω Διὸς υἱὸν ἐριγδούποιο διώκοι,

652—4 = *Λ* 443—5   654 = *Π* 625   659 = *N* 580. *X* 466
671 = *υ* 10.

646 ἐμοῦ codd. dett.   651 τῶν A   656 ἁμαρτῇ AC Ambr. ὁμαρτῇ D ἁμαρτὴ Ar.   657 ἤιξεν Ambr.   661 βεβλήκειν Ar.: βεβλήκει codd., cf. La Roche Hom. Text. 194   665 γρ. τό οἱ οὔτις schol. A.

ἢ ὅ γε τῶν πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο.
οὐδ᾽ ἄρ᾽ Ὀδυσσῆι μεγαλήτορι μόρσιμον ἦεν
ἴφθιμον Διὸς υἱὸν ἀποκτάμεν ὀξέι χαλκῷ·
τῷ ῥα κατὰ πληθὺν Λυκίων τράπε θυμὸν Ἀθήνη.
ἔνθ᾽ ὅ γε Κοίρανον εἷλεν Ἀλάστορά τε Χρομίον τε
Ἄλκανδρόν θ᾽ Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
καί νύ κ᾽ ἔτι πλέονας Λυκίων κτάνε δῖος Ὀδυσσεύς,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε μέγας κορυθαίολος Ἕκτωρ.
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
δϝεῖμα φέρων Δαναοῖσι· χάρη δ᾽ ἄρα ϝοι προσιόντι
Σαρπηδὼν Διὸς υἱός, ἔπος δ᾽ ὀλοφυδνὸν ἔϝειπεν·
„Πριαμίδη, μὴ δή με ἕλωρ Δαναοῖσιν ἐάσῃς
κεῖσθαι, ἀλλ᾽ ἐπάμυνον. ἔπειτά με καὶ λίποι αἰών
ἐν πόλει ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρα μέλλον ἔγωγε
νοστήσας ϝοῖκόνδε φίλην ἐς πατρίδα γαῖαν
εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν."
ὣς φάτο· τὸν δ᾽ οὔ τι προσέφη κορυθαίολος Ἕκτωρ,
ἀλλὰ παρήιξεν, λελιημένος ὄφρα τάχιστα
ὤσαιτ᾽ Ἀργείους, πολέων δ᾽ ἀπὸ θυμὸν ἕλοιτο.
οἱ μὲν ἄρ᾽ ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
εἷσαν ὑπ᾽ αἰγιόχοιο Διὸς περικαλλέι φηγῷ·
ἐκ δ᾽ ἄρα ϝοι μηροῦ δόρυ μείλινον ὦσε θύραζε
ἴφθιμος Πελάγων, ὅς ϝοι φίλος ἦεν ἑταῖρος.
τὸν δ᾽ ἔλιπε ψυχή, κατὰ δ᾽ ὀφθαλμῶν κέχυτ᾽ ἀχλύς.
αὖτις δ᾽ ἀμπνύνθη, περὶ δὲ πνοιὴ Βορέαο
ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.
Ἀργεῖοι δ᾽ ὑπ᾽ Ἄρηι καὶ Ἕκτορι χαλκοκορυστῇ
οὔτε ποτὲ προτρέποντο μελαινάων ἐπὶ νηῶν
οὔτε ποτ᾽ ἀντεφέροντο μάχῃ, ἀλλ᾽ αἰὲν ὀπίσσω
χάζονθ᾽, ὡς ἐπύθοντο μετὰ Τρώεσσιν Ἄρηα.

673 = Κ 506   674–5 cf. Φ 291   679 = Φ 211   681 = Δ 495   687ᵇ = Β 140.

673 ὅ γ᾽ ἔτι πλεόνων coni. Nauck   682 Διὸς υἱὸς Σαρπηδὼν προσιόντι ϝέπος Bentley, ipse tentavi χάρης δ᾽ ἄρα σοι — υἱὲ ϝέπος δ᾽ ὀλοφυδνὸν ἔϝειπες   684 ϝέλωρ Bekker   695 Σελάγων Ptolemaeus Oroandae   697 γρ. ἐμπνύνθη schol. A, quod Aristarchus probasse dicitur schol. ad Χ 475, ἀμπνύθη A in textu, quod recipi iussit Herwerden Rev. de phil. II 195   699 ante versus 607—698 interpositos incepisse videtur ab ὣς ἔφατ᾽ Ἀργεῖοι δ᾽ ὑπὸ   700 γρ. προτράποντο μελαινάων ἀπὸ schol. A.

ἔνθα τίνα πρῶτον, τίνα δ᾽ ὕστατον ἐξενάριξαν
Ἕκτωρ τε Πριάμοιο πάις καὶ χάλκεος Ἄρης;
ἀντίθεον Τεύθραντ᾽, ἐπὶ δὲ πλήξιππον Ὀρέστην,
Τρῆχόν τ᾽ αἰχμητὴν Αἰτώλιον, Οἰνόμαόν τε,
Οἰνοπίδην θ᾽ Ἕλενον, καὶ Ὀρέσβιον αἰολομίτρην,
ὅς ῥ᾽ ἐν Ὕλῃ ναίεσκε μέγα πλούτοιο μεμηλώς,
λίμνῃ κεκλιμένος Κηφισίδι· πὰρ δέ ϝοι ἄλλοι
ναῖον Βοιωτοί, μάλα πίονα δῆμον ἔχοντες.
τοὺς δ᾽ ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
αὐτίκ᾽ Ἀθηναίην ϝέπεα πτερόεντα προσηύδα·
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
ἦ ῥ᾽ ἅλιον τὸν μῦθον ὑπέστημεν Μενελάῳ,
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι,
εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα.
ἀλλ᾽ ἄγε δὴ καὶ νῶι μεδώμεθα θούριδος ἀλκῆς."
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
Ἥρη πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
Ἥβη δ᾽ ἀμφ᾽ ὀχέεσσι θοῶς βάλε καμπύλα κύκλα,
χάλκεα ὀκτάκνημα σιδηρέῳ ἄξονι ἀμφίς.
τῶν ἤ τοι χρυσέη ϝίτυς ἄφθιτος, αὐτὰρ ὕπερθεν
χάλκε᾽ ἐπίσσωτρα προσαρηρότα, θαῦμα ϝιδέσθαι·
πλῆμναι δ᾽ ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν.
δίφρος δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσιν
ἐντέταται, δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσιν.
τοῦ δ᾽ ἐξ ἀργύρεος ῥυμὸς πέλεν· αὐτὰρ ἐπ᾽ ἄκρῳ
δῆσε χρύσειον καλὸν ζυγόν, ἐν δὲ λέπαδνα

703 = Λ 299. Π 692   708ᵇ = Ν 297   711—2 cf. Η 17—18   713 = Δ 69   714 = Β 157   716 = Β 113   718ᵇ = Δ 418   719—21 = Θ 381—3   721 = Ξ 194. 243.

703 ἐξενάριξαν AC Ar.: ἐξενάριξεν D et γρ. schol. A   706 Τρῆχον τόντ᾽ A   708 Ὕδῃ Zen. — μεμηλώς: μεμαώς seu μεμηώς coni. Nauck mél. IV 584   711—792 et 907—11 et Ζ 1 damnat Haupt, Betr. p. 108, cui rei favet quod versus Ε 791 ex Ν 107 sumptus esse videtur.
712 om. D   716 εὐτείχεα coni. Nauck   722 ὀχέεσσι C: ὀχέεσφι AD   723 χάλκει᾽ Bentley — ὀκτώκνημα Cobet misc. crit. 413   725 γρ. ὀπίσσωτρα schol. A   727 χρυσέῃσι καὶ ἀργυρέῃσιν D   729 πέλει Bentley — ἄκρῳ: αὐτῷ D.

κάλ' ἔβαλε, χρύσει'. ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη 10
ἵππους ὠκύποδας, μεμαυῖ' ἔριδος καὶ ἀυτῆς.
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει,
ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο καὶ κάμε χερσίν·
ἡ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετ' αἰγίδα θυσσανόεσσαν
δϝεινήν, ἣν πέρι μὲν πάντη Φόβος ἐστεφάνωται,
ἐν δ' Ἔρις, ἐν δ' Ἀλκή, ἐν δὲ κρυόεσσα Ἰωκή,
ἐν δέ τε Γοργείη κεφαλὴ δϝεινοῖο πελώρου,
δϝεινή τε σμερδνή τε, Διὸς τέρας αἰγιόχοιο.
κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο τετραφάληρον
χρυσείην, ἑκατὸν πολίων πρυλέεσσ' ἀραρυῖαν.
ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο, λάζετο δ' ἔγχος
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους·
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε,
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι.
τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
εὗρον δὲ Κρονίωνα θεῶν ἄτερ ἥμενον ἄλλων
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
ἔνθ' ἵππους στήσασα θεὰ λευκώλενος Ἥρη
Ζῆν' ὕπατον Κρονίδην ἐξείρετο καὶ προσέϝειπεν·
„Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρει τάδε καρτερὰ ϝέργα,
ὁσσάτιόν τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐμοὶ δ' ἄχος; οἳ δὲ ϝέκηλοι

733—7 = Θ 384—8 · 738 = Β 45 et Φ 400 739 = Λ 36 741 = λ 634 742ᵇ = Μ 209 743 = Λ 41 745—52 = Θ 389—396 746—7 = α 100—1 748 cf. Ρ 430 751 = λ 525 753—4 = Λ 498—9 759ᵃ = Β 214.

734—6 damnavit Zen. 736 γρ. *ἠδὲ* schol. A 738 *θυσανόεσσαν* A m. pr. 739 *ἐστεφάνωται* A: *ἐστεφάνωτο* CD 744 *πολίων* A: *πόλεων* CD et γρ. A 746 *δάμνησι* CD: *δάμνησι* A Ar. 749 *αὐτόματοι* Eust. 750 *ἐπιτέτραφαται* Bergk collato Athen. IV p. 134 756 *ἐξήρετο* C 757 *Ἄρει* C: *Ἄρῃ* AD — *καρτερὰ ἔργα* ACD Ar.: γρ. *ἔργ. ἀίδηλα* schol. A et Apoll. Soph. 16, 31.

τέρπονται Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων 10
ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔ τινα ϝοῖδε θέμιστα.
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, αἴ κεν Ἄρηα
λυγρῶς πεπληγυῖα μάχης ἐξαποδίωμαι;"
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ἄγρει μέν ϝοι ἔπορσον Ἀθηναίην ἀγελείην,
ἥ ϝε μάλιστα ϝέϝωθε κακῇς ὀδύνῃσι πελάζειν."
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
μάστιξεν δ' ἵππους· τὼ δ' οὐκ ἀϝέκοντε πετέσθην
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
ὅσσον δ' ἠεροϝειδὲς ἀνὴρ ϝίδεν ὀφθαλμοῖσιν
ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ ϝοίνοπα πόντον,
τόσσον ἔπι θρῴσκουσι θεῶν ὑψηχέες ἵπποι.
ἀλλ' ὅτε δὴ Τροίην ἷξον ποταμώ τε ῥέϝοντε,
ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος,
ἔνθ' ἵππους ἔστησε θεὰ λευκώλενος Ἥρη
λύσασ' ἐξ ὀχέων, περὶ δ' ἠέρα πουλὺν ἔχευεν·
τοῖσιν δ' ἀμβροσίην Σιμόεις ἀνέτειλε νέμεσθαι.
τὼ δὲ βάτην, τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι,
ἀνδράσιν Ἀργείοισιν ἀλεξέμεναι μεμαυῖαι.
ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι πλεῖστοι καὶ ἄριστοι
ἕστασαν, ἀμφὶ βίην Διομήδεος ἱπποδάμοιο
ϝειλόμενοι, λείουσι ϝεϝοικότες ὠμοφάγοισιν
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν,
ἔνθα στᾶσ' ἤυσε θεὰ λευκώλενος Ἥρη,
Στέντορι ϝεισαμένη μεγαλήτορι χαλκεοφώνῳ,
ὃς τόσον αὐδήσασχ' ὅσον ἄλλοι πεντήκοντα·
„αἰδώς, Ἀργεῖοι, κάκ' ἐλέγχεα, ϝεῖδος ἀγητοί.

762ᵃ = Ε 421 764 = Λ 560 768 = Κ 530. Λ 519. Ε 366 769 = Θ 46 775—6 = 368—9 782—3 = Η 256—7 784ᵃ = Λ 10 787 = Θ 228.

763 *μάχης ἒξ ἀποδίωμαι* A 764 γρ. *τὴν δ' αὖτε προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε* schol. A 765 *μέν ϝοι: μάν οἱ* codd. *νῦν μοι* Apoll. Soph. 6, 20 766 *μάλιστ' εἴωθε* codd. 778 *τὼ δὲ* schol. Soph. El. 977. Oed. Col. 1676 Eur. Alc. 902, unde Aristarcheam eam fuisse lectionem probavit W. C. Kayser in Philol. XVII 708: *αἱ δὲ* codd. 782 *εἰλούμενοι* A 785—792 sollicitat Friedlaender Kritik p. 65 786 *ἔν τισιν οὐκ ἦν ὁ στίχος* schol. B 787 *ἐλέγχεα* ACD: *ἐλεγχέες* Ar. — *ἀγητοὶ* et *ἄριστοι* Ar.

ὄφρα μὲν ἐc πόλεμον πωλέcκετο δῖοc Ἀχιλλεύc,
οὐδέ ποτε Τρῶεc πρὸ πυλάων Δαρδανιάων
οἴχνεcκον· κείνου γὰρ ἐδείδιcαν ὄβριμον ἔγχοc·
νῦν δὲ Fεκὰc πόλιοc κοΐληc ἐπὶ νηυcὶ μάχονται.“
ὣc Fειποῦc᾽ ὤτρυνε μένοc καὶ θυμὸν ἑκάcτου.
Τυδεΐδῃ δ᾽ ἐπόρουcε θεὰ γλαυκῶπιc Ἀθήνη.
εὗρε δὲ τόν γε Fάνακτα παρ᾽ ἵπποιcιν καὶ ὄχεcφιν
ἕλκοc ἀναψύχοντα, τό μιν βάλε Πάνδαροc ἰῷ.
ἱδρὼc γάρ μιν ἔτειρεν ὑπὸ πλατέοc τελαμῶνοc
ἀcπίδοc εὐκύκλου· τῷ τείρετο, κάμνε δὲ χεῖρα,
ἂν δ᾽ ἴcχων τελαμῶνα κελαινεφὲc αἷμ᾽ ἀπομόργνυ,
ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο, φώνηcέν τε·
„ἦ ὀλίγον Fοι παῖδα FεFοικότα γείνατο Τυδεύc,
Τυδεύc τοι μικρὸc μὲν ἔην δέμαc, ἀλλὰ μαχητήc.
καί ῥ᾽ ὅτε πέρ μιν ἐγὼ πολεμιζέμεν οὐκ εἴαcκον
οὐδ᾽ ἐκπαιφάccειν, ὅτε τ᾽ ἤλυθε νόcφιν Ἀχαιῶν
ἄγγελοc ἐc Θήβαc πολέαc μετὰ Καδμεΐωναc·
δαίνυcθαί μιν ἀνώγε᾽ ἐνὶ μεγάροιcι Fέκηλον·
αὐτὰρ ὃ θυμὸν ἔχων Fὸν καρτερόν, ὡc τὸ πάροc περ,
κούρουc Καδμεΐων προκαλίζετο, πάντα δ᾽ ἐνίκα.
[ῥηιδίωc· τοίη Fοι ἐγὼν ἐπιτάρροθοc ἦα.]
cοὶ δ᾽ ἦ τοι μὲν ἐγὼ παρά θ᾽ ἵcταμαι ἠδὲ φυλάccω,
καί cε προφρονέωc κέλομαι Τρώεccι μάχεcθαι·
ἀλλά cευ ἢ κάματοc πολυᾶιξ γυῖα δέδυκεν,
ἤ νύ cέ που δFέοc ἴcχει ἀκήριον. οὐ cύ γ᾽ ἔπειτα
Τυδέοc ἔκγονόc ἐccι δαΐφρονοc Οἰνεΐδαο.“
τὴν δ᾽ ἀπαμειβόμενοc προcέφη κρατερὸc Διομήδηc·
„γινώcκω cε, θεὰ θύγατερ Διὸc αἰγιόχοιο·
τῷ τοι προφρονέωc Fερέω Fέποc οὐδ᾽ ἐπικεύcω.

791 = *Ν* 107 807—8 = *Δ* 389—90 814 = *Λ* 316.

791 *δὲ ἑκὰς* ACD Zen. Aristoph.: *δ᾽ ἕκαθεν* Ar. — *κοίλης ἐπὶ νηυσὶ*: fort. *πολέος* (*ἢ σπιδέος ἢ μέσσου*) *πεδίοιο*, ne versum ex *Ν* 107 translatum suspiceris 792 *θυμόν τε Fεκ.* Bentley 794 *τόν γ᾽ ἀπάνευθε* Naber 797 *εὐκύκλου ἢ ἀμφιβρότης* Eust. — *τείρετο* A Ar.: *τρίβετο* CD et *γρ.* A 798 *ἀπεμόργνυ* D 802 *πολεμίζειν* codd. — *ἐάασκεν* coni. Nauck 805 *ἀνώγε᾽ ἐνὶ* scripsi: *ἤνωγον ἐνὶ* codd., cf. prol. p. 114 808 om. Ar., habuit Zen. — *οἱ*: *τοι* C 811 *δέδοικεν* C m. pr. 814 *γρ. τὴν δ᾽ αὖτε προσέειπε* ⟨*βοὴν ἀγαθὸς Διομήδης*⟩ schol. A.

οὔτε τί με δFέοc ἴcχει ἀκήριον οὔτε τιc ὄκνοc,
ἀλλ᾽ ἔτι cῶν μέμνημαι ἐφετμέων, ἃc ἐπέτειλαc.
οὔ μ᾽ εἴαc μακάρεccι θεοῖc ἀντικρὺ μάχεcθαι
τοῖc ἄλλοιc· ἀτὰρ εἴ κε Διὸc θυγάτηρ Ἀφροδίτη
ἔλθῃc᾽ ἐc πόλεμον, τήν γ᾽ οὐτάμεν ὀξέι χαλκῷ.
τοὔνεκα νῦν αὐτόc τ᾽ ἀναχάζομαι ἠδὲ καὶ ἄλλουc
Ἀργείουc ἐκέλευcα Fαλήμεναι ἐνθάδε πάνταc·
γινώcκω γὰρ Ἄρηα μάχην ἀνὰ κοιρανέοντα.“
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ γλαυκῶπιc Ἀθήνη·
„Τυδεΐδη Διόμηδεc, ἐμῷ κεχαριcμένε θυμῷ,
μήτε cύ γ᾽ Ἄρηα τό γε δείδιθι μήτε τιν᾽ ἄλλον
ἀθανάτων· τοίη τοι ἐγὼν ἐπιτάρροθόc εἰμι.
ἀλλ᾽ ἄγ᾽ ἐπ᾽ Ἄρηι πρώτῳ ἔχε μώνυχαc ἵππουc,
τύψον δὲ cχεδίην, μηδ᾽ ἅζεο θοῦρον Ἄρηα
τοῦτον μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόcαλλον,
ὃc πρῴην μὲν ἐμοί τε καὶ Ἥρῃ cτεῦτ᾽ ἀγορεύων
Τρωcὶ μαχήcεcθαι, ἀτὰρ Ἀργείοιcιν ἀρήξειν,
νῦν δὲ μετὰ Τρώεccιν ὁμιλεῖ, τῶν δὲ λέλαcται.“
ὣc φαμένη Cθένελον μὲν ἀφ᾽ ἵππων ὦcε χαμᾶζε,
χειρὶ πάλιν Fερύcαc᾽. ὃ δ᾽ ἄρ᾽ ἐμμαπέωc ἀπόρουcεν·
ἣ δ᾽ ἐc δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
ἐμμεμαυῖα θεά. μέγα δ᾽ ἔβραχε φήγινοc ἄξων
βριθοcύνῃ· δFεινὴν γὰρ ἄγεν θεὸν ἄνδρα τ᾽ ἄριcτον.
λάζετο δὲ μάcτιγα καὶ ἡνία Παλλὰc Ἀθήνη·
αὐτίκ᾽ ἐπ᾽ Ἄρηι πρώτῳ ἔχε μώνυχαc ἵππουc.
ἦ τοι ὃ μὲν Περίφαντα πελώριον ἐξενάριζεν,
Αἰτωλῶν ὄχ᾽ ἄριcτον, Ὀχηcίου ἀγλαὸν υἱόν.
τὸν μὲν Ἄρηc ἐνάριζε μιαιφόνοc· αὐτὰρ Ἀθήνη
δῦν᾽ Ἄιδοc κυνέην, μή μιν Fίδοι ὄβριμοc Ἄρηc.
ὡc δὲ Fίδε βροτολοιγὸc Ἄρηc Διομήδεα δῖον,
ἦ τοι ὃ μὲν Περίφαντα πελώριον αὐτόθ᾽ ἔαcεν

820—1 = 131—2 826 = 243 827ᵇ = *Ξ* 342 828 = 808
835ᵇ = *Λ* 143. 320. *Υ* 461.

818 *σῶν* ACD: *σέων* Ar. 827 *ἄλλων* Cant. 830 *στυκτὸν* Herwerden in Herm. XVI 355 838—9 *ἀθετοῦνται* schol. A 838 *γρ. πήδινος* Eust. 839 *ἄνδρα δ᾽* Ar. post 841 legitur 846 in AC 842 *ἐξενάριζεν* AD Ar.: *ἐξενάριξεν* C et *γρ.* schol. A 844 *ἐνάριζε* AC Ar.: *ἐνάριξε* D.

κεῖcθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν, 10
αὐτὰρ ὁ βῆ ῥ' ἰθὺc Διομήδεοc ἱπποδάμοιο.
οἱ δ' ὅτε δὴ cχεδὸν ἦcαν ἐπ' ἀλλήλοιcιν ἰόντεc,
πρόcθεν Ἄρηc ὠρέξαθ' ὑπὲρ ζυγὸν ἡνία θ' ἵππων
ἔγχεϊ χαλκείῳ, μεμαὼc ἀπὸ θυμὸν ἑλέcθαι·
καὶ τό γε χειρὶ λαβοῦcα θεὰ γλαυκῶπιc Ἀθήνη
ὦcεν ὑπὲκ δίφροιο Fετώcιον ἀιχθῆναι.
δεύτεροc αὖθ' ὡρμᾶτο βοὴν ἀγαθὸc Διομήδηc
ἔγχεϊ χαλκείῳ· ἐπέρειcε δὲ Παλλὰc Ἀθήνη
νείατον ἐc κενεῶνα, ὅθι ζωννύcκετο μίτρην.
τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν,
ἐκ δὲ δόρυ cπάcεν αὖτιc. ὁ δ' ἔβραχε χάλκεοc Ἄρηc,
ὅccον τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρεc ἐν πολέμῳ, ἔριδα ξυνάγοντεc Ἄρηοc.
τοὺc δ' ἄρ' ὑπὸ τρόμοc εἷλεν Ἀχαιούc τε Τρῶάc τε
δFείcαντac· τόcον ἔβραχ' Ἄρηc ἄατοc πολέμοιο.
οἵη δ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀήρ
καύματοc ἔξ ἀνέμοιο δυcαFέοc ὀρνυμένοιο,
τοῖοc Τυδεΐδῃ Διομήδεϊ χάλκεοc Ἄρηc
φαίνεθ' ὁμοῦ νεφέεccιν ἰὼν εἰc οὐρανὸν εὐρύν.
καρπαλίμωc δ' ἵκανε θεῶν ἕδοc, αἰπὺν Ὄλυμπον,
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων,
δεῖξεν δ' ἄμβροτον αἷμα καταρρέFον ἐξ ὠτειλῆc,
καί ῥ' ὀλοφυρόμενοc Fέπεα πτερόεντα προcηύδα·
„Ζεῦ πάτερ, οὐ νεμεcίζῃ ὁρῶν τάδε καρτερὰ Fέργα;
αἰεί τοι ῥίγιcτα θεοὶ τετληότεc εἰμέν
ἀλλήλων ἰότητι, χάριν δ' ἄνδρεccι φέροντεc.
coὶ πάντεc μαχόμεcθα· cὺ γὰρ τέκεc ἄφρονα κούρην,
οὐλομένην, ᾗ τ' αἰὲν ἀFίcυλα Fέργα μέμηλεν.

849ᵃ = Λ 101 850 = Γ 15 855 = Κ 283 857ᵃ = Λ 381. Π 821 860—1 = Ξ 148—9 864ᵃ = Λ 62 869 = Α 405 871 = Λ 815. Σ 72 872 = 757.

848 *πρῶτα* C 852 *ἑλέσθαι* A Ambr.: *ὀλέσσαι* CD et *γρ.* A 855 *δεύτερον* D 857 *ζωννύσκετο*: *γρ. στελλέσκετο* schol. A — *μίτρῃ* Ar. 859 *ἐν δὲ* A 860 *γρ. ἐννεάχειλοι* et *δεκάχειλοι* Eust. 863 *ἄτος* codd. 872 *γρ. ἔργ' ἀίδηλα* schol. V et codd. dett. 873—4 damnat Bekker Hom. Bl. II 68 874 *χάριν δ'* ACD Ar.: *χάριν* codd. dett. 876 *ἀϝίσυλον* scripsi, unde *αἴσυλον* eiècto digammo contractum est: *ἀήσυλον* codd. *ἀϝαίσυλον* Benfey Wurzellex. II 222.

ἄλλοι μὲν γὰρ πάντεc, ὅcοι θεοί εἰc' ἐν Ὀλύμπῳ, 10
coί τ' ἐπιπείθονται καὶ δεδμήμεcθα Fέκαcτοc·
ταύτην δ' οὐ Fέπεϊ προτιβάλλεαι οὐδέ τι Fέργῳ,
ἀλλ' ἀνιεῖc, ἐπεὶ αὐτὸc ἐγείναο παῖδ' ἀFίδηλον·
ἣ νῦν Τυδέοc υἱὸν ὑπερφίαλον Διομήδεα
μαργαίνειν ἀνέηκεν ἐπ' ἀθανάτοιcι θεοῖcιν.
Κύπριδα μὲν πρῶτον cχεδὸν οὔταcε χεῖρ' ἐπὶ καρπῷ,
αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέccυτο δαίμονι Fῖcoc.
ἀλλά μ' ὑπήνεικαν ταχέεc πόδεc· ἦ τέ κε δηρόν
αὐτοῦ πήματ' ἔπαcχον ἐν αἰνῇcιν νεκάδεccιν,
ἤ κε ζὼc ἀμενηνὸc ἔα χαλκοῖο τυπῇcιν."
τὸν δ' ἄρ' ὑπόδρα Fιδὼν προcέφη νεφεληγερέτα Ζεύc·
„μή τί μοι, ἀλλοπρόcαλλε, παρεζόμενοc μινύριζε.
ἔχθιcτοc δέ μοί ἐccι θεῶν οἳ Ὄλυμπον ἔχουcιν·
αἰεὶ γάρ τοι ἔριc τε φίλη πόλεμοί τε μάχαι τε.
μητρόc τοι μένοc ἐcτὶν ἀνάcχετον, οὐκ ἐπιFεικτόν,
Ἥρηc· τὴν μὲν ἐγὼ cπουδῇ δάμνημι Fέπεccιν.
τῷ c' ὀίω κείνηc τάδε πάcχειν ἐννεcίῃcιν.
ἀλλ' οὐ μάν c' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα·
ἐκ γὰρ ἐμεῦ γένοc ἐccί, ἐμοὶ δέ cε γείνατο μήτηρ.
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ' ἀFίδηλοc,
καί κεν δὴ πάλαι ἦcθα ἐνέρτεροc Οὐρανιώνων."
ὣc φάτο, καὶ Παιήον' ἀνώγεεν ἰήcαcθαι.
τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάccεν.
[ἠκέcατ'· οὐ μὲν γάρ τι καταθνητόc γ' ἐτέτυκτο.]
ὡc δ' ὅτ' ὀπὸc γάλα λευκὸν ἐπειγόμενοc cυνέπηξεν
ὑγρὸν ἐόν, μάλα δ' ὦκα περιτρέφεται κυκόωντι,

883—4 ≐ 458—9 890 = Α 176 et Ε 404 891 = Α 177 895ᵃ = Ρ 41 900—1 = 401—2.

879 *οὐ ϝέπεϊ προτιβάλλεαι οὐδέ τι* scripsi: *οὔτ' ἔπεϊ προτιβάλλεαι οὔτέ τι* codd. 880 *ἀνίεις* ACD 881 *ὑπέρθυμον* C et *γρ.* schol. A 886 fort. *Ἄιδι πήματ'* 887 *γρ. εἴ κεν* Eust. — *ζὼς* Herodianus: *ζῶς* Ptolem. Ascal. 892 *ἀάσχετον* codd., *ἀνάσχετον* Wackernagel in Bezz. Beitr. IV 302, vulgatam excusat Bekker Hom. Bl. I 158 893 *δάμνημ' ἐπέεσσι* codd. 894 *εἰνεσίῃσιν* coni. Nauck 895 *οὐ μὲν* malo 897 fort. *γένε' ὧδ'*, cf. prol. § 109 898 *ἦσθα* C: *ἦσθας* AD — *ἐνέρτατος* Zen. 899 *ἀνώγεεν* scripsi: *ἀνώγειν* AC *ἀνῶγεν* D, cf. prol. p. 117 900 *πάσσεν* ACD Ar.: *πάσσων* codd. dett. 901 om. CD ignoravit Ar., habet A sed in eodem A adnotatum est, *ἐν ἄλλῳ ὁ στίχος οὐχ εὕρηται* 902 *ἐπειγόμενον* D 903 *περιτρέφεται* Hero-

ὣς ἄρα καρπαλίμως ἰήςατο θοῦρον Ἄρηα. 10
τὸν δ' Ἥβη λόεςεν, χαρίεντά τε Ϝείματα Ϝέςςεν·
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων.
αἳ δ' αὖτις πρὸς δῶμα Διὸς μεγάλοιο νέοντο,
Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηὶς Ἀθήνη,
παύςαςαι βροτολοιγὸν Ἄρην ἀνδροκταςιάων.

ΕΚΤΟΡΟΣ ΚΑΙ ΑΝΔΡΟΜΑΧΗΣ ΟΜΙΛΙΑ.

Ζ
Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή·
πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθ' ἴθυσε μάχη πεδίοιο
ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα,
μεσσηγὺς Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων.
Αἴας δὲ πρῶτος Τελαμώνιος, ἕρκος Ἀχαιῶν,
Τρώων Ϝρῆξε φάλαγγα, φόως δ' ἑτάροισιν ἔθηκεν,
ἄνδρα βαλὼν ὃς ἄριστος ἐνὶ Θρηΐκεσσι τέτυκτο,
υἱὸν Ἐυσσώρου Ἀκάμαντ' ἠΰν τε μέγαν τε.
τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης,

906 = *Ε* 869. *Λ* 405 908 = *Δ* 8.
Ζ 4^b = *Θ* 560 5^a = *Μ* 378 9—11 = *Δ* 459—61.

dianus et Apoll. Soph. 130, 14: *περιστρέφεται* codd. 905 *λοῦσεν* codd., cf. prol. p. 181 — *τε* Vrat.: *δὲ* ACD 906 damnasse Zenodotum narrat schol. B, damnasse Aristarchum narrat schol. V 909 *Ἄρην* ACD et Herodianus: *Ἄρη'* Cant., dubito an vere.

Liber Z sive carmen undecimum, licet ab Herodoto II 116 ita laudetur, tamquam pars integra *Διομήδους ἀριστείας* fuerit, tamen non solum aptissimum erat, quod seorsum cantaretur, sed etiam a colore et consilio libri quinti cum aliis rebus differt tum hoc, quod Diomedes, qui illo libro deorum reverentia omni exuta ferocissime Venerem et Martem aggressus erat, iam hoc libro v. 129 cum diis manum conserere se summopere vereri dicit. Arcte autem hoc carmen cohaeret cum iis carminibus, in quibus res gestae Sarpedonis et Glauci regum Lyciorum illustrantur, quae omnia uni poetae assignanda eodemque litterarum genere describenda censui. 1—4 carmini antecedenti finem imponendo aptiores quam novo carmini auspicando sunt, unde dubito an et hi versus rectis litteris exscribendi fuerint et undecimi carminis vetus exordium, quo post dubium Martem tandem Troianorum aciem labefactari coeptam esse significabatur, socordia Pisistrati diasceuastorum interciderit. 4 *μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ στομαλίμνης* altera editio Aristarchi, *μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ Σιμόεντος* Chaeris 5 *Αἴας δ' αὖ* vel *ἔνθ' Αἴας* genuinum carminis initium fuisse puto 7 *Θρήκεσσι* codd., cf. prol. p. 177.

ἐν δὲ μετώπῳ πῆξε, πέρησε δ' ἄρ' ὀστέον εἴσω 11
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψεν.
Ἄξυλον δ' ἄρ' ἔπεφνε βοὴν ἀγαθὸς Διομήδης
Τευθρανίδην, ὃς ἔναιεν ἐυκτιμένῃ ἐν Ἀρίσβῃ
ἀφνειὸς βιότοιο, φίλος δ' ἔεν ἀνθρώποισιν·
πάντας γὰρ φιλέεσκεν ὁδῷ ἔπι Ϝοικία ναίων.
ἀλλά Ϝοι οὔ τις τῶν γε τότ' ἤρκεσε λυγρὸν ὄλεθρον
πρόσθεν ὑπαντιάσας, ἀλλ' ἄμφω θυμὸν ἀπεύρα,
αὐτὸν καὶ θεράποντα Καλήσιον, ὅς ῥα τόθ' ἵππων
ἔσκεν ὑφηνίοχος· τὼ δ' ἄμφω γαῖαν ἐδύτην.
Δρῆσον δ' Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξεν·
βῆ δὲ μετ' Αἴσηπον καὶ Πήδασον, οὕς ποτε νύμφη
νηὶς Ἀβαρβαρέη τέκ' ἀμύμονι Βουκολίωνι.
Βουκολίων δ' ἦν υἱὸς ἀγαυοῦ Λαομέδοντος
πρεσβύτατος γενεῇ, σκότιον δέ Ϝε γείνατο μήτηρ·
ποιμαίνων δ' ἐπ' ὄεσσι μίγη φιλότητι καὶ εὐνῇ,
ἣ δ' ὑποκυσαμένη διδυμάονε γείνατο παῖδε.
καὶ μὲν τῶν ὑπέλυσε μένος καὶ φαίδιμα γυῖα
Μηκιστηιάδης, καὶ ἀπ' ὤμων τεύχε' ἐσύλα.
Ϝαστύαλον δ' ἄρ' ἔπεφνε μενεπτόλεμος Πολυποίτης·
Πιδύτην δ' Ὀδυσεὺς Περκώσιον ἐξενάριξεν
ἔγχεϊ χαλκείῳ, Τεῦκρος δ' Ἀρετάονα δῖον.
Ἀντίλοχος δ' Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ
Νεστορίδης, Ἔλατον δὲ Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
ναῖε δὲ Σατνιόεντος ἐυρρείταο παρ' ὄχθας
Πήδασον αἰπεινήν. Φύλακον δ' ἕλε Λήιτος ἥρως
φεύγοντ'· Εὐρύπυλος δὲ Μελάνθιον ἐξενάριξεν.
Ἄδρηστον δ' ἄρ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ζωὸν ἕλ'· ἵππω γάρ Ϝοι ἀτυζομένω πεδίοιο
ὄζῳ ἔνι βλαφθέντε μυρικίνῳ, ἀγκύλον ἅρμα
Ϝάξαντ' ἐν πρώτῳ ῥυμῷ, αὐτὼ μὲν ἐβήτην,

16 = *Β* 873 18^a = *Ν* 331 25^a = *Λ* 106 32^b = *Δ* 496
34—35 cf. *Φ* 86.

14 *ἦν* codd., cf. prol. p. 117 et 183 16 *τόν γε* A 17 *ἀπηύρα* codd. 18 *Καλέσσιον* Fick 21 *Πήδασον*: *Πήρεχον* Ar. 26 *ὑποκυσσαμένη* ACD 29—36 ab alio poeta atque 37—65 factos esse existimo 31 γρ. *ἄρ' Ἐτάονα* schol. A 34 *ὃς ναῖε* (scribe *νάε*) *Σατν.* Zen. — fort. *ἐυρρεϜέταο* — *ὄχθαις* Strabo XIII p. 606 35 *Φύλακον*: *Σχεδίον* Herodianus *περὶ μον. λεξ.* 18, 6 40 *πρώτῳ ἐνὶ ῥυμῷ Ϝάξαντ'* malo.

πρὸς πόλιν, ᾗ περ οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο,
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη
πρηνὴς ἐν κονίῃσιν ἐπὶ στόμα. πὰρ δέ ϝοι ἔστη
Ἀτρεΐδης Μενέλαος ἔχων δολιχόσκιον ἔγχος.
Ἄδρηστος δ' ἄρ' ἔπειτα λαβὼν ἐλλίσσετο γούνων·
„ζώγρει, Ἀτρέος υἱέ, σὺ δ' ἄξια δέξαι ἄποινα.
πολλὰ δ' ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται,
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος·
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα,
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν."
ὣς φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.
καὶ δή μιν τάχ' ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
δώσειν ϝῷ θεράποντι καταξέμεν· ἀλλ' Ἀγαμέμνων
ἀντίος ἦλθε θέϝων, καὶ ὁμοκλήσας ϝέπος ηὔδα·
„ὦ πέπον, ὦ Μενέλαε, τίη δὲ σὺ κήδεαι οὕτως
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ ϝοῖκον
πρὸς Τρώων; τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον
χεῖράς θ' ἡμετέρας, μηδ' ὅν τινα γαστέρι μήτηρ
κοῦρον ἐόντα φέροι, μηδ' ὃς φύγοι, ἀλλ' ἅμα πάντες
Ἰλίου ἐξαπολοίατ' ἀκήδεστοι καὶ ἄφαντοι."
ὣς ϝειπὼν παρέπεισεν ἀδελφεόο φρένας ἥρως
αἴσιμα παρϝειπών· ὃ δ' ἀπὸ ϝέθεν ὤσατο χειρί
ἥρω' Ἄδρηστον. τὸν δὲ κρείων Ἀγαμέμνων
οὖτα κατὰ λαπάρην· ὃ δ' ἀνετράπετ', Ἀτρεΐδης δέ
λὰξ ἐν στήθεσι βὰς ἐξέσπασε μείλινον ἔγχος.
Νέστωρ δ' Ἀργείοισιν ἐκέκλετο μακρὸν ἀύσας·
„ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθεν
μιμνέτω, ὥς κεν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ' ἄνδρας κτείνωμεν. ἔπειτα δὲ καὶ τὰ ϝέκηλοι
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας."

41 = Φ 4 42 = Ψ 394 45^b = Φ 71 46–50 = Λ 131—5 48—50 = Κ 379—81 51 = Β 142 61^b = Η 120. Ν 788 64 = Ξ 447 66^b = Ζ 110. Θ 172. Λ 285 . . . 67 = Β 110.

50 αἴ κεν Lips. 51 ἔπειθεν AD: ὄρινε C et A supra lin. 54 ἀντίον Zen. 58 post ἡμετέρας plene interpunxerunt Nicanor et Wolf 61 παρέπεισεν A: ἔτρεψεν CD et γρ. A — ἀδελφειοῦ codd., cf. prol. § 79 62 ἀπὸ: γρ. ἀπαὶ Eust. 71 Τρώων ἂμ πεδίον συλήσομεν

ὣς ϝειπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ἔνθα κεν αὖτε Τρῶες ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες,
εἰ μὴ ἄρ' Αἰνείᾳ τε καὶ Ἕκτορι ϝεῖπε παραστάς
Πριαμίδης Ἕλενος, οἰωνοπόλων ὄχ' ἄριστος·
„Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ' ἄριστοι
πᾶσαν ἐπ' ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,
στῆτ' αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
πάντη ἐποιχόμενοι, πρὶν αὖτ' ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέειν, δεΐοισι δὲ χάρμα γενέσθαι.
αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ' αὖθι μένοντες,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
Ἕκτορ, ἀτὰρ σὺ πόλινδε μετέρχεο, ϝειπὲ δ' ἔπειτα
μητέρι σῇ καὶ ἐμῇ· ἣ δὲ ξυνάγουσα γεραιάς
νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ,
οἴξασα κληϝῖδι θύρας ἱεροῖο δόμοιο,
πέπλον, ὃ ϝοι δοκέει χαριέστατος ἠδὲ μέγιστος
εἶναι ἐνὶ μεγάρῳ καί ϝοι πολὺ φίλτατος αὐτῇ,
θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο,
καί ϝοι ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἤνις ἠκέστας ἱερευσέμεν, αἴ κ' ἐλεήσῃ
ϝάστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
αἴ κεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου ἱρῆς,
ἄγριον αἰχμητήν, κρατερὸν μήστωρα φόβοιο.
ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημὶ γενέσθαι.
οὐδ' Ἀχιλῆά ποθ' ὧδέ γ' ἐδείδιμεν, ὄρχαμον ἀνδρῶν,

72 = Ε 470 73—4 = Ρ 319—20. Π 303 90–7 = 271–8 94^b = Ι 172. Ω 301 95 = Ρ 223.

ἔντεα νεκρούς Zen. — τεθνηιῶτας A τεθνειῶτας CD, quam discrepantiam scripturae non iam notabo 72 θυμόν τε ϝεκ. Bentley 74 ἀναλκείῃσι CD: ἀναλκίῃσι A ἀναλκίηφι coni. Nauck 76 Ἕλενος μάντις τ' οἰωνοπόλος τε Aristarcheam lectionem fuisse tradidit Ammonius 81 πρίν γ' coni. Nauck, ut etiam Ι 403. Ν 172. Π 322. 840. Χ 156. δ 660, at vide Hartel Hom. Stud. I 109 82 δηίοισι τε D 87 γρ. γεραράς (corr. γεραιράς) schol. V, cf. Ζ 270 89 damnat Koechly opusc. p. 111 90 ὃ Bentleio duce Hermannus ad Orph. p. 778: ὅς codd. 96 ὥς κεν Ar.

ὅν πέρ φασι θεᾶς ἐξέμμεναι· ἀλλ' ὅδε λίην **11**
ὅς μιν ἀμειβόμενος ϝέπεα πτερόεντα προσηύδα·
„Ἀντῆνορ, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις·
ϝοῖσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί.
αὐτὰρ ἐγὼ Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω.
ἀντικρὺ δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω,
κτήματα δ', ὅσσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ,
πάντ' ἐθέλω δόμεναι, καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι."
ἤ τοι ὅ γ' ὣς ϝειπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
Δαρδανίδης Πρίαμος, θεόφιν μήστωρ ἀτάλαντος,
ὅ σφιν ἐυφρονέων ἀγορήσατο καὶ μετέϝειπεν·
„κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
νῦν μὲν δόρπον ἕλεσθε κατὰ πτόλιν, ὡς τὸ πάρος περ,
καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ϝέκαστος·
ἠῶθεν δ' Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας
ϝειπέμεν Ἀτρεΐδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν·
καὶ δὲ τόδ' εἰπέμεναι πυκινὸν ϝέπος, αἴ κ' ἐθέλωσιν
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
κήομεν. ὕστερον αὖτε μαχησόμεθ', εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην."
ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο·
δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατὸν ἐν τελέεσσιν,
ἠῶθεν δ' Ἰδαῖος ἔβη κοίλας ἐπὶ νῆας.
τοὺς δ' εὗρ' εἰν ἀγορῇ Δαναούς, θεράποντας Ἄρηος,

351[a] = *X* 117 354 = *A* 68 355 = *Γ* 329 356 = *O* 48. *Ψ* 557 357—60 = *M* 231—4 365 = 354 367 = *A* 73 368—9 = 348—9 370—1 = *Σ* 298—9 374 = *Γ* 87 377—8 = 291—2 379 = *I* 79. *Ξ* 133. 378 380 = *A* 730. *Σ* 298 381 = 372.

353 *ἀθετεῖται* schol. A — *ἵνα ἂν μὴ* Ar. 359 *γρ. εἰ ἐτεὸν* schol. A 364 et 391 *καὶ ϝοίκοθεν* Heyne, quod in recente carmine recipere dubitavi, praesertim cum etiam in vv. 375. 467. 472 vis digammi neglecta sit 368—9 om. A 370 *γρ. κατὰ στρατὸν* A 375 *καὶ δὲ τόδ' εἰπ.* codd.: *καὶ δὲ τὸ ϝειπέμεναι* Bekker, cf. *H* 364 376 *πολέμου δυσϝηχέος* Bekker 377 *κείομεν* ACD 378 *δῴη* D: *δῴη* A *δώη* C 379 *ἠδ' ἐπιθ.* codd. 380 om. AD, habet C et D in marg.

νηὶ πάρα πρυμνῇ Ἀγαμέμνονος· αὐτὰρ ὃ τοῖσιν 14
στὰς ἐν μέσσοισιν μετεφώνεεν ἠπύτα κῆρυξ·
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
ἠνώγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοί
Ϝειπέμεν, αἴ κέ περ ὔμμι φίλον καὶ Ϝηδὺ γένοιτο,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν.
κτήματα μέν, ὅσ' Ἀλέξανδρος κοΐλῃς ἐνὶ νηυσίν
ἠγάγετο Τροίηνδ' — ὡς πρὶν ὤφελλ' ἀπολέσθαι —
πάντ' ἐθέλει δόμεναι, καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι·
κουριδίην δ' ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ φησιν δώσειν· ἦ μὲν Τρῶές γε κέλονται.
καὶ δὲ τόδ' ἠνώγει Ϝειπεῖν Ϝέπος, αἴ κ' ἐθέλητε
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκρούς
κήομεν. ὕστερον αὖτε μαχησόμεθ', εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
ὀψὲ δὲ δὴ μετέϜειπε βοὴν ἀγαθὸς Διομήδης·
„μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω
μήθ' Ἑλένην· γνωτὸν δέ, καὶ ὃς μάλα νήπιός ἐστιν,
ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν,
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
καὶ τότ' ἄρ' Ἰδαῖον προσέφη κρείων Ἀγαμέμνων·
„Ἰδαῖ', ἦ τοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις,
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ' ἐπιϜανδάνει οὕτως.
ἀμφὶ δὲ νεκροῖσιν κατακαιέμεν οὔ τι μεγαίρω·
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων
γίνετ', ἐπεί κε θάνωσι, πυρὸς μειλισσέμεν ὦκα.
ὅρκια δὲ Ζεὺς Ϝίστω, ἐρίγδουπος πόσις Ἥρης."
ὣς Ϝειπὼν τὸ σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσιν,
ἄψορρον δ' Ἰδαῖος ἔβη προτὶ Ἴλιον ἱρήν.
οἳ δ' ἕατ' εἰν ἀγορῇ Τρῶες καὶ Δαρδανίωνες,
πάντες ὁμηγερέες, ποτιδέχμενοι ὁππότ' ἄρ' ἔλθοι

385 = 327 387^{b} = Δ 17 388 = 374 389—90 = Χ 115—6 391 = 364 392 = Τ 298 et Δ 100 395—7 = 376—8 398 = Γ 95 399 = Ι 31. 696 402^{b} = Μ 79 404—5 = Ι 50—1 409^{a} = ξ 92 411^{b} = Κ 329. Ν 154.

383 *πρυμνῇ* Bekker Hom. Bl. I 179: *πρύμνῃ* codd. 385 in marg. habet A — *ἄλλοι ἐυκνήμιδες Ἀχαιοί* D 387 *εἰπέμεν* C: *εἰπεῖν* AD 393 *μὲν*: *μὴν* AC *μιν* D 394 *ἠνώγει* Spitzner: *ἠνώγεον* ACD *ἤνωγον* Bentley 395 *πολέμου δυσϜηχέος* Bekker 396 *κείομεν* ACD 397 *δῴη* AD *δώῃ* C 408 *κατακειέμεν* C 410 *γίγνετ'* A 415 *ποτιδέχμενοι* Cobet misc. crit. 360: *ποτιδέγμενοι* codd.

Ἰδαῖος· ὃ δ' ἄρ' ἦλθε καὶ ἀγγελίην ἀπέϜειπεν 14
στὰς ἐν μέσσοισιν. τοὶ δ' ὁπλίζοντο μάλ' ὦκα,
ἀμφότερον νέκυάς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην·
Ἀργεῖοι δ' ἑτέρωθεν ἐυσσέλμων ἀπὸ νηῶν.
[ὀτρύνοντο νέκυς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην.]
ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας,
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο
οὐρανὸν εἰσανιών· οἳ δ' ἤντεον ἀλλήλοισιν.
ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα Ϝέκαστον·
ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα,
δάκρυα θερμὰ χέϜοντες ἀμαξάων ἐπάειραν.
οὐδ' εἴα κλαίειν Πρίαμος μέγας· οἳ δὲ σιωπῇ
νεκροὺς πυρκαΐῆς ἐπενήνεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν προτὶ Ἴλιον ἱρήν.
ὣς δ' αὔτως ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοί
νεκροὺς πυρκαΐῆς ἐπενήνεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοΐλας ἐπὶ νῆας.
ἦμος δ' οὔτ' ἄρα πω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ,
τῆμος ἄρ' ἀμφὶ πυρὴν κριτὸς ἤγρετο λαὸς Ἀχαιῶν,
τύμβον δ' ἀμφ' αὐτὴν ἕνα ποίεον ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου, ποτὶ δ' αὐτὸν τεῖχος ἔδειμαν
πύργους θ' ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ' αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας,
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη.
ἔκτοσθεν δὲ βαθεῖαν ἐπ' αὐτῷ τάφρον ὄρυξαν,
εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξαν.
ὣς οἳ μὲν πονέοντο καρηκομόωντες Ἀχαιοί·
οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ
θηεῦντο μέγα Ϝέργον Ἀχαιῶν χαλκοχιτώνων.
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
„Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν,

419^{a} = Λ 215. Ν 835 421—2 = τ 433—4 426^{a} = Π 3 432^{b} = Κ 525 434 = Ω 789 435—40 = 336—41 441 = Ι 350 442 = Ε 84 et Β 323 443 = Δ 1 444^{b} = Λ 371 445 = Φ 287. Ε 420 446 = Ε 421 et Ω 342.

420 *ὀτρύνοντο νέκυς τ'* Ar.: *ὤτρυνον* (*οτρυνον* D) *νέκυάς τ'* ACD, totum versum damnavit Herwerden quaest ep. 12, quo iudicio probato 419 ante 418 collocandum censet Nauck 422 *ἀκαλαρρεέταο* coni. Nauck 424 *χαλεπὸν* C 427 *οἳ δὲ*: *γρ. ἀλλὰ* A 428 *πυρκαΐῇ* Zen. — *γρ. ἐπινήνεον* A 433 *οὔτ'*: *οὐκ* coni. Nauck — *ἄρα*: *ἄρ* codd. 434 *κριτὸς* sensu caret, sed ne *κλυτὸς* quidem, quod ex Ω 789 reponere in proclivi est, aptum videtur — *ἤγρετο* Duentzer: *ἔγρετο* codd. 436 *ἐν πεδίῳ περὶ δ' αὐτὸν* Aristoph. 437 *θ'* om. AD 443—464 damnarunt Zen. Aristoph. Ar.

ὅc τιc ἔτ' ἀθανάτοιcι νόον καὶ μῆτιν ἐνίψει;
οὐχ ὁράᾳc ὅτι δ' αὖτε καρηκομόωντεc 'Αχαιοί
τεῖχοc ἐτειχίccαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλαcαν, οὐδὲ θεοῖcι δόcαν κλειτὰc ἑκατόμβαc;
τοῦ δ' ἦ τοι κλέFoc ἔcται ὅcον τ' ἐπικίδναται ἠώc·
τοῦ δ' ἐπιλήcονται, τό τ' ἐγὼ καὶ Φοῖβοc 'Απόλλων
ἥρῳ Λαομέδοντι πολίccαμεν ἀθλήcαντε."
τὸν δὲ μέγ' ὀχθήcαc προcέφη νεφεληγερέτα Ζεύc·
„ὢ πόποι, 'Εννοcίγαι' εὐρυcθενέc, οἷον ἔFειπεc.
ἄλλοc κέν τιc τοῦτο θεῶν δFείcειε νόημα,
ὃc cέο πολλὸν ἀφαυρότεροc χεῖράc τε μένοc τε·
cὸν δ' ἦ τοι κλέFoc ἔcται ὅcον τ' ἐπικίδναται ἠώc.
ἄγρει μάν, ὅτ' ἂν αὖτε καρηκομόωντεc 'Αχαιοί
οἴχωνται cὺν νηυcὶ φίλην ἐc πατρίδα γαῖαν,
τεῖχοc ἀναFρήξαc τὸ μὲν εἰc ἅλα πᾶν καταχεῦαι,
αὖτιc δ' ἠιόνα μεγάλην ψαμάθοιcι καλύψαι,
ὥc κέν τοι μέγα τεῖχοc ἀμαλδύνηται 'Αχαιῶν."
ὣc οἱ μὲν τοιαῦτα πρὸc ἀλλήλουc ἀγόρευον,
δύcετο δ' ἠέλιοc, τετέλεcτο δὲ Fέργον 'Αχαιῶν,
βουφόνεον δὲ κατὰ κλιcίαc καὶ δόρπον ἕλοντο.
νῆεc δ' ἐκ Λήμνοιο παρέcταcαν οἶνον ἄγουcαι
πολλαί, τὰc προέηκεν 'Ιηcονίδηc Εὔνηοc,
τόν ῥ' ἔτεχ' 'Υψιπύλη ὑπ' 'Ιήcονι ποιμένι λαῶν.
χωρὶc δ' 'Ατρεΐδῃc 'Αγαμέμνονι καὶ Μενελάῳ
δῶκεν 'Ιηcονίδηc ἀγέμεν μέθυ, χίλια μέτρα.
ἔνθεν ἄρ' οἰνίζοντο καρηκομόωντεc 'Αχαιοί,
ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι cιδήρῳ,
ἄλλοι δὲ Fρινοῖc, ἄλλοι δ' αὐτῇcι βόεccιν,
ἄλλοι δ' ἀνδραπόδεccι· τίθεντο δὲ δαῖτα θάλειαν.
παννύχιοι μὲν ἔπειτα καρηκομόωντεc 'Αχαιοί
δαίνυντο, Τρῶεc δὲ κατὰ πτόλιν ἠδ' ἐπίκουροι·

449—50 = *M* 5—6 454 = *Λ* 517 455 = *ν* 140. *Θ* 201 460 = *O* 499. *B* 140 462 = *M* 31 464 = *E* 274 468—9 cf. *Φ* 41 475^b = *γ* 420 476^a = *Σ* 354.

448 *ὅτι* D Ambr.: *ὅτε* AC 449 *ἐτεκτήναντο* Hesychius s. v. *νεῶν ὕπερ* 451 *δή τοι* A — *ὅσον* CD et *γρ.* schol. A: *ὅσην* A Ambr. Ar. 452 *τό τ'* A Ambr.: *ὅτ'* CD *τὸ* Ar. *γρ. τὸ δ'* schol. 458 *δή τοι* D — *ὅσην* A Ambr. 465 *δύσετό τ'* supra *τ'* scripto *δ* A: *δύσετί τ'* C *δύσσετό τ'* D; hoc versu nescio an olim carmen finitum sit 467 *παρέσταν* Bentley, cf. *Λ* 733; equidem in recenti carmine utrum digamma neglectum an versum male tornatum potius feram anceps haereo 472 *ἔνθ' ἄρα* Bentley 474 *αὐτοῖσι* C 475 *ἀθετεῖται* schol. A, cf. *H* 465 — *ἀνδραπόδοισι* Ar.

παννύχιοc δέ cφιν κακὰ μήδετο μητίετα Ζεύc
cμερδαλέα κτυπέων. τοὺc δὲ χλωρὸν δFέοc ᾕρει,
Fοῖνον δ' ἐκ δεπάων χαμάδιc χέFον, οὐδέ τιc ἔτλη
πρὶν πιέειν, πρὶν λεῖψαι ὑπερμενέι Κρονίωνι.
κοιμήcαντ' ἄρ' ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο.

ΚΟΛΟΣ ΜΑΧΗ.

'Ηὼc μὲν κροκόπεπλοc ἐκίδνατο πᾶcαν ἐπ' αἶαν,
Ζεὺc δὲ θεῶν ἀγορὴν ποιήcατο τερπικέραυνοc
ἀκροτάτῃ κορυφῇ πολυδειράδοc Οὐλύμποιο.
αὐτὸc δέ cφ' ἀγόρευε, θεοὶ δ' ὑπὸ πάντεc ἄκουον·
„κέκλυτέ μευ, πάντεc τε θεοὶ πᾶcαί τε θέαιναι,
ὄφρ' εἴπω τά με θυμὸc ἐνὶ cτήθεccι κελεύει.
μήτε τιc οὖν θήλεια θεὸc τό γε μήτε τιc ἄρcην
πειράτω διακέρcαι ἐμὸν Fέποc, ἀλλ' ἅμα πάντεc
αἰνεῖτ', ὄφρα τάχιcτα τελευτήcω τάδε Fέργα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήcω
ἐλθόντ' ἢ Τρώεccιν ἀρηγέμεν ἢ Δαναοῖcιν,
πληγεὶc οὐ κατὰ κόcμον ἐλεύcεται Οὔλυμπόνδε·
ἤ μιν ἑλὼν Fρίψω ἐc Τάρταρον ἠερόεντα,
τῆλε μάλ', ἧχι βάθιcτον ὑπὸ χθονόc ἐcτι βέρεθρον,
ἔνθα cιδήρειαί τε πύλαι καὶ χάλκεοc οὐδόc,
τόccον ἔνερθ' 'Αίδεω, ὅcον οὐρανόc ἐcτ' ἀπὸ γαίηc·
γνώcετ' ἔπειθ' ὅcον εἰμὶ θεῶν κάρτιcτοc ἁπάντων.
εἰ δ' ἄγε πειρήcαcθε, θεοί, ἵνα Fείδετε πάντεc·

479^b = *Θ* 77. *P* 67. *λ* 43 . . 482 = *I* 713. *τ* 427. 1 = *Ω* 695 3 = *Λ* 499 5—6 = *T* 101—2 6 = *H* 68 10 = *B* 391 11 = *N* 9 13^b = Hes. theog. 721 16 = Hes. theog. 720 18 cf. *Λ* 302.

481 *πρὶν πιέειν: πιέμεναι* Ar. 482 una cum *Θ* 1 sustulit Zen.
Liber *Θ* post libros *M—O* veteri Iliadi una cum libro *I* adiectus esse videtur, ut et consilium Iovis ceteros deos a proeliis mortalium arcentis planius, quam in libro undecimo *Λ* 74 factum erat, aperiretur et ad legationem principum Achivorum auxilium Achillis implorantium quasi via praemuniretur. Ceterum nescio an exordium libri (*Θ* 1—27), quod egregia quadam maiestate et rerum et elocutionis excellit, ceteris partibus huius libri antiquius sit et primitus ut libris *Λ—O* coniunctis abiecto vetere principio libri *Λ* praefigeretur destinatum fuerit; cf. prol. p. 12 v. 1 ante versum 53 posuit Zen. 6 om. AD, habet C et D in marg. 7 *θεῶν* Ar. 10 *ἀπάνευθε* codd.: *ἀπάτερθε* Aristoph. *μετόπισθε* Zen. 15 secl. Bekker, cf. Hes. theog. 732 16 *'Αίδεω* codd. Iliadis: *ὑπὸ γῆς* Hes. theog. 721.

σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες, **15**
πάντες τ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ' οὐκ ἂν Fερύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν' ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι Fερύσσαι,
αὐτῇ κεν γαίῃ Fερύσαιμ' αὐτῇ τε θαλάσσῃ·
σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.
τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν, περί τ' εἴμ' ἀνθρώπων."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν.
ὀψὲ δὲ δὴ μετέFειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
εὖ νυ καὶ ἡμεῖς Fίδμεν ὅ τοι σθένος οὐκ ἐπιFεικτόν·
ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται.
ἀλλ' ἤ τοι πολέμου μὲν ἀφεξόμεθ', ὡς σὺ κελεύεις·
βουλὴν δ' Ἀργείοις ὑποθησόμεθ', ἥ τις ὀνήσει,
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο."
τὴν δ' ἐπιμειδήσας προσέφη νεφεληγερέτα Ζεύς·
„θάρσει, τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι."
ὣς Fειπὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
ὠκυπέτα, χρυσέῃσι Fεθείρῃσιν κομόωντε,
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δ' ἱμάσθλην
χρυσείην εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου.
μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἀFέκοντε πετέσθην
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν,

28 = *Γ* 95 29 = *I* 431. 694 30 = *Π* 94 et *E* 825 31 = *α* 45. *ω* 473 32—7 = 463—8 38—40 = *X* 182—4 46 = *E* 769 41—4 = *N* 23—6 45 = *E* 366 46 = *E* 769 47 = *Ξ* 283. *O* 151 48 = *ϑ* 363.

20 *πάντες τ'* C: *πάντες δ'* AD 22 *μήστωρ'*: *πάντων* Aristot. de part. an. c. 4 — *κάμοιτε* codd.: *γρ. πάθοιτε* A 23 *πρόφρων*: *πρόσσω* Ptolemaeus Oroandae — *ἐθέλωμι* Ar. 25 et 26 damnat Zen. 28—40 *ἀθετοῦνται* schol. A, adiecti hi versus esse videntur, ut ne Minerva Ulyssi et Diomedi opitulans (*K* 507. *Λ* 438. *O* 668) et Achivos ad rem strenue agendam exhortans (*P* 544) cum hoc loco aperte pugnare videretur 29 *γρ. φρασσάμενοι* schol. A — *ἀγόρευε* D 35 *ὡς* A Ar.: *ἤ* C *εἰ* D et *γρ.* schol. A 37 om. Zen. — *τεεῖο* mavult Dronke Rh. Mus. IX 111 44 *γρ. ἐπεβήσατο* A 45 *ἄκοντε* codd. 48 *ἔνθα τε* C: *ἔνθα δὲ* AD.

Γάργαρον, ἔνθα τέ Fοι τέμενος βωμός τε θυήεις. **15**
ἔνθ' ἵππους ἔστησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
λύσας ἐξ ὀχέων, κατὰ δ' ἠέρα πουλὺν ἔχευεν.
αὐτὸς δ' ἐν κορυφῇσι καθέζετο κύδεϊ γαίων,
εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν.
οἳ δ' ἄρα δεῖπνον ἕλοντο καρηκομόωντες Ἀχαιοί
ῥίμφα κατὰ κλισίας, ἀπὸ δ' αὐτοῦ θωρήσσοντο.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὁπλίζοντο,
παυρότεροι· μέμασαν δὲ καὶ ὧς ὑσμῖνι μάχεσθαι,
χρειοῖ ἀναγκαίῃ, πρό τε παίδων καὶ πρὸ γυναικῶν.
πᾶσαι δ' ὠίγνυντο πύλαι, ἐκ δ' ἔσσυτο λαός,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
οἳ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
σύν ῥ' ἔβαλον Fρινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρων
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέFε δ' αἵματι γαῖα.
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀFέξετο ἱερὸν ἦμαρ,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαός.
ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν.
αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἑζέσθεν, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν.
αὐτὸς δ' ἐξ Ἴδης μεγάλ' ἔκτυπε, δαιόμενον δέ
ἧκε σέλας μετὰ λαὸν Ἀχαιῶν. οἳ δὲ Fιδόντες
θάμβησαν, καὶ πάντας ὑπὸ χλωρὸν δFέος εἷλεν.
ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν οὔτ' Ἀγαμέμνων,
οὔτ' Αἴαντε δύω μενέτην, θεράποντες Ἄρηος.
Νέστωρ οἶος ἔμιμνε Γερήνιος, οὖρος Ἀχαιῶν,

49—50 = *E* 775—6 51^{b} = *Λ* 405 52 = *Λ* 82 58—9 = *B* 809—10 60—5 = *Δ* 446—51 66 = *Λ* 84. *ι* 56 67 = *Λ* 85. *O* 319. *Π* 778. 68 = *δ* 400. *Π* 777 69—70 = *X* 209—10 71 = *Γ* 127 72 = *X* 212 77^{b} = *H* 479 80^{b} = *Λ* 840.

50 *κατὰ*: *περὶ* D, cf. *E* 776 53 cf. ad *Θ* 1 54 *ἀπὸ δ' αὐτοῦ*: *γρ. τοὶ δ' αὐτόθι* schol. A 55 *ὁπλίζοντο* Ar.: *ὡπλίζοντο* codd. 60 *γρ. ἵκανον* A 68 *γρ. ἀμφιβεβήκειν* schol. A 73—4 *ἀθετοῦνται* schol. A 74 *ἕζεσθεν* schol. A: *ἑζέσθην* ACD 77 *γρ. ἦρει* schol. A, cf. *H* 479. *P* 67 79 *οὔτ' Αἴαντε δύω* C: *οὔτε δύ' Αἴαντες* A *οὐδὲ δύ' Αἴαντες* D.

οὔ τι Fεκών, ἀλλ' ἵππος ἐτείρετο, τὸν βάλεν ἰῷ
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο,
ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων
κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστιν.
ἀλγήσας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον δῦ,
σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.
ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνεν
φασγάνῳ ἀΐσσων, τόφρ' Ἕκτορος ὠκέες ἵπποι
ἦλθον ἀν' ἰωχμόν, θρασὺν ἡνίοχον φορέοντες
Ἕκτορα. καί νύ κεν ἔνθ' ὁ γέρων ἀπὸ θυμὸν ὄλεσσεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε βοὴν ἀγαθὸς Διομήδης.
σμερδαλέον δ' ἐβόησεν ἐποτρύνων Ὀδυσῆα·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
πῇ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὣς ἐν ὁμίλῳ;
μή τίς τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ.
ἀλλὰ μέν', ὄφρα γέροντος ἀπώσομεν ἄγριον ἄνδρα."
ὣς ἔφατ', οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς,
ἀλλὰ παρήιξεν κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τυδεΐδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη,
στῆ δὲ πρόσθ' ἵππων Νηληιάδαο γέροντος,
καί μιν φωνήσας Fέπεα πτερόεντα προσηύδα·
„ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί,
σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει,
ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.
ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα Fίδηαι,
οἷοι Τρώιοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι,
οὕς ποτ' ἀπ' Αἰνείαν ἑλόμην, μήστωρα φόβοιο.
τούτω μὲν θεράποντε κομείτων, τώδε δὲ νῶι
Τρωσὶν ἐφ' ἱπποδάμοις ἰθύνομεν, ὄφρα καὶ Ἕκτωρ
Fείσεται, εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν."
ὣς ἔφατ', οὐδ' ἀπίθησε Γερήνιος ἱππότα Νέστωρ.
Νεστορέας μὲν ἔπειθ' ἵππους θεράποντε κομείτην,
ἴφθιμος Σθένελός τε καὶ Εὐρυμέδων ἀγαπήνωρ·

82 = Γ 329 91 = Γ 374 93 = Β 173 95 = Χ 283 97b = Ι 676. Κ 248. Ψ 729 . . . 99 = Ε 134 101 = Λ 201 103b = Δ 321 105—7 = Ε 221—3 108 cf. Ε 323—4 108b = Ε 272. Ψ 16 110 = Δ 352 et Π 242 111 cf. Π 74—5 112 = Λ 516. Η 43 114a = Ψ 511.

81 ἐτείρετο: γρ. ἐδάμνατο schol. A 83 ὅθι: ἵνα Arist. de gen. an. V 5 87 ἀπέτεμνε D 103 ὀπάζει ACD Ar.: γρ. ἱκάνει schol. A ἐπείγει Ixion 108 ἀθετεῖται schol. A — γρ. μήστωρα schol. A: μήστωρε ACD Ar., cf. Ε 272 109 κομείτων A Ar. et γρ. C: κομείτην CD Zen. et γρ. A 111 εἰ CD et γρ. A: η A 113 κομείτην AD: κομίτην C, fort. κομήτην, cf. prol. § 89 114 ἴφθιμος AD: ἴφθιμοι C.

τὼ δ' εἰς ἀμφοτέρω Διομήδεος ἅρματα βήτην.
Νέστωρ δ' ἐν χείρεσσι λάβ' ἡνία σιγαλόεντα,
μάστιξεν δ' ἵππους· τάχα δ' Ἕκτορος ἄγχι γένοντο.
τοῦ δ' ἰθὺς μεμαῶτος ἀκόντισε Τυδέος υἱός.
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὁ δ' ἡνίοχον θεράποντα,
υἱὸν ὑπερθύμου Θηβαίου Ἠνιοπῆα,
ἵππων ἡνί' ἔχοντα βάλε στῆθος παρὰ μαζόν.
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ Fοι ἵπποι
ὠκύποδες· τοῦ δ' αὖθι λύθη ψυχή τε μένος τε.
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴασε καὶ ἀχνύμενός περ ἑταίρου
κεῖσθαι, ὁ δ' ἡνίοχον μέθεπε θρασύν. οὐδ' ἄρ' ἔτι δFὴν
ἵππω δευέσθην σημάντορος· αἶψα γὰρ εὗρεν
Fιφιτίδην Ἀρχεπτόλεμον θρασύν, ὅν ῥα τόθ' ἵππων
ὠκυπόδων ἐπέβησε, δίδου δέ Fοι ἡνία χερσίν.
ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα Fέργα γένοντο,
καί νύ κε σήκασθεν κατὰ Ἴλιον ἠύτε Fάρνες,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
βροντήσας δ' ἄρα δεινὸν ἀφῆκ' ἀργῆτα κεραυνόν,
κὰδ δὲ πρόσθ' ἵππων Διομήδεος ἧκε χαμᾶζε·
δεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο,
τὼ δ' ἵππω δFείσαντε καταπτήτην ὑπ' ὄχεσφιν.
Νέστορα δ' ἐκ χειρῶν φύγον ἡνία σιγαλόεντα·
δFεῖσε δ' ὅ γ' ἐν θυμῷ, Διομήδεα δὲ προσέFειπεν·
„Τυδεΐδη, ἄγε δ' αὖτε φόβονδ' ἔχε μώνυχας ἵππους.
ἦ οὐ γινώσκεις ὅ τοι ἐκ Διὸς οὐχ ἕπετ' ἀλκή;
νῦν μὲν γὰρ τούτῳ Κρονίδης Ζεὺς κῦδος ὀπάζει,
σήμερον· ὕστερον αὖτε καὶ ἡμῖν, αἴ κ' ἐθέλῃσιν,
δώσει. ἀνὴρ δέ κεν οὔ τι Διὸς νόον εἰρύσσαιτο,
οὐδὲ μάλ' ἴφθιμος, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν."
τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Διομήδης·
„ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔFειπες·
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·

118a = Λ 95 119 = Φ 171 et Ε 580 121a = Π 739 122 = Ο 452 123 = Ε 296 124 = Ρ 83 130—1 = Λ 310—1 132a = Θ 91 139b = Λ 513 141 = Φ 570. Ρ 566 146 = Λ 286 147 = Ο 208. Π 52. σ 274.

116 σιγαλόεντα CD et γρ. A: φοινικόεντα A 123 om. D 128 Ἐρασιπτόλεμον Zen. post 131 in nonnullis exemplaribus additos refert schol. V versus hos: Τρῶες ὑπ' Ἀργείων, ἔλιπον δέ κεν Ἕκτορα δῖον | χαλκῷ δῃωθέντα (δηιόωντα cod.) δάμασσε δέ μιν Διομήδης 133 δ' ἄρα: δὲ Nauck, cf. prol. § 101 137 φύγον AC Ar.: φύγεν D et γρ. A — γρ. φοινικόεντα schol. A 139 δ' αὖτε: νῶι Zen. 140 ὅτι ἐκ CD.

Ἕκτωρ γάρ ποτε φήϲει ἐνὶ Τρώεϲϲ' ἀγορεύων· 15
‚Τυδεΐδηϲ ὑπ' ἐμεῖο φοβεύμενοϲ ἵκετο νῆαϲ.'
ὥϲ ποτ' ἀπειλήϲει· τότε μοι χάνοι εὐρεῖα χθών."
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιοϲ ἱππότα Νέϲτωρ·
„ὤ μοι, Τυδέοϲ υἱὲ δαΐφρονοϲ, οἷον ἔϜειπεϲ.
εἴ περ γάρ ϲ' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήϲει,
ἀλλ' οὐ πείϲονται Τρῶεϲ καὶ Δαρδανίωνεϲ
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀϲπιϲτάων,
τάων ἐν κονίῃϲι βάλεϲ θαλεροὺϲ παρακοίταϲ."
ὣϲ ἄρα φωνήϲαϲ φύγαδ' ἔτραπε μώνυχαϲ ἵππουϲ
αὖτιϲ ἀν' ἰωχμόν· ἐπὶ δὲ Τρῶέϲ τε καὶ Ἕκτωρ
ἠχῇ θεϲπεϲίῃ βέλεα ϲτονόεντα χέϜοντο.
τῷ δ' ἐπὶ μακρὸν ἄυϲε μέγαϲ κορυθαίολοϲ Ἕκτωρ·
„Τυδεΐδη, περὶ μέν ϲε τίον Δαναοὶ ταχύπωλοι
ἕδρῃ τε κρέαϲίν τε ἰδὲ πλείοιϲι δέπαϲϲιν·
νῦν δέ ϲ' ἀτιμήϲουϲι· γυναικὸϲ ἄρ' ἀντὶ τέτυξο.
Ϝέρρε, κακὴ γλήνη, ἐπεὶ οὐ Ϝείξαντοϲ ἐμεῖο
πύργων ἡμετέρων ἐπιβήϲεαι, οὐδὲ γυναῖκαϲ
ἄξειϲ ἐν νήεϲϲι· πάροϲ τοι δαίμονα δώϲω."
ὣϲ φάτο, Τυδεΐδηϲ δὲ διάνδιχα μερμήριξεν
ἵππουϲ τε ϲτρέψαι καὶ ἐναντίβιον μαχέϲαϲθαι.
τρὶϲ μὲν μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν,
τρὶϲ δ' ἄρ' ἀπ' Ἰδαίων ὀρέων κτύπε μητίετα Ζεύϲ,
ϲῆμα τιθεὶϲ Τρώεϲϲι, μάχηϲ ἑτεραλκέα νίκην.
Ἕκτωρ δὲ Τρώεϲϲιν ἐκέκλετο μακρὸν ἀύϲαϲ·
„Τρῶεϲ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρεϲ ἔϲτε, φίλοι, μνήϲαϲθε δὲ θούριδοϲ ἀλκῆϲ.
γινώϲκω δ' ὅτι μοι πρόφρων κατένευϲε Κρονίων
νίκην καὶ μέγα κῦδοϲ, ἀτὰρ Δαναοῖϲί γε πῆμα.
νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο
ἀβλήχρ' οὐδενόϲωρα· τὰ δ' οὐ μένοϲ ἄμμον ἐρύξει,
ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.

150 = Δ 182 151 = Δ 317 152 = Δ 370 et Η 455
159 = Ο 590 160 = Ε 101 et 347 161 = Δ 257 162 = Μ 311
167 = Ν 455 168ᵇ = Θ 255. Χ 223 172—4 = Λ 285—7. Ο 485—7.
Ρ 183—5 172 = Ζ 110 173 = Λ 286. Ν 150. Ο 425. 486.
174 = Ζ 112 177 cf. Η 436.

152 ἔειπας C 153 φῆσιν Cobet misc. crit. 358 collato α 168 162 πλείοις δεπάεσσιν codd., cf. § 85 163 ἀτιμάσσουσι Nauck — ἀντὶ τέτυξο D Ar.: ἀντ' ἐτέτυξο AC 164—6 damnarunt Aristoph. Ar. 166 τοι πότμον ἐφήσω Zen. 168 τρέψαι D — ὑποτάσσουσι τινές 'ἢ μήτε στρέψαι μήτ' ἀντίβιον μαχέσασθαι' schol. A 170 ἀπ': γρ. ἐπ' A 177—183 vide ad Η 313 177 οἳ Ar.: οἵ Dionysius Sidonius μηχανόωνται C m. pr. 178 ἀμὸν D ἁμὸν AC, cf. prol. p. 127.

ἀλλ' ὅτε κεν δὴ νηυϲὶν ἔπι γλαφυρῇϲι γένωμαι, 15
μνημοϲύνη τιϲ ἔπειτα πυρὸϲ δηΐοιο γενέϲθω,
ὡϲ πυρὶ νῆαϲ ἐνιπρήϲω, κτείνω δὲ καὶ αὐτούϲ
Ἀργείουϲ παρὰ νηυϲίν, ἀτυζομένουϲ ὑπὸ καπνοῦ."
ὣϲ Ϝειπὼν ἵπποιϲιν ἐκέκλετο φώνηϲέν τε·
„Ξάνθε τε καὶ ϲύ, Πόδαργε, καὶ Αἴθων Λάμπε τε δῖε,
νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, ἣν μάλα πολλήν
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτοροϲ Ἠετίωνοϲ,
ὑμῖν πὰρ προτέροιϲι μελίφρονα πυρὸν ἔθηκεν
Ϝοῖνόν τ' ἐγκεράϲαϲα πιεῖν, ὅτε θυμὸϲ ἀνώγοι,
ἢ ἐμοί, ὅϲ πέρ Ϝοι θαλερὸϲ πόϲιϲ εὔχομαι εἶναι.
ἀλλ' ἐφομαρτεῖτον καὶ ϲπεύδετον, ὄφρα λάβωμεν
ἀϲπίδα Νεϲτορέην, τῆϲ νῦν κλέϜοϲ οὐρανὸν ἵκει,
πᾶϲαν χρυϲείην ἔμεναι, κανόναϲ τε καὶ αὐτήν,
αὐτὰρ ἀπ' ὤμοιιν Διομήδεοϲ ἱπποδάμοιο
δαιδάλεον θώρηκα, τὸν Ἥφαιϲτοϲ κάμε τεύχων.
εἰ τούτω γε λάβοιμεν, ἐϜελποίμην κεν Ἀχαιούϲ
αὐτονυχὶ νηῶν ἐπιβηϲέμεν ὠκειάων."
ὣϲ ἔφατ' εὐχόμενοϲ, νεμέϲηϲε δὲ πότνια Ἥρη,
ϲείϲατο δ' εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον,
καί ῥα Ποϲειδάωνα μέγαν θεὸν ἀντίον ηὔδα·
„ὢ πόποι, Ἐννοϲίγαι' εὐρυϲθενέϲ, οὐδέ νυ ϲοί περ
ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεϲὶ θυμόϲ;
οἳ δέ τοι εἰϲ Ἑλίκην τε καὶ Αἰγὰϲ δῶρ' ἀνάγουϲιν
πολλά τε καὶ χαρίεντα. ϲὺ δέ ϲφιϲι βούλεο νίκην.
εἴ περ γάρ κ' ἐθέλοιμεν, ὅϲοι Δαναοῖϲιν ἀρωγοί,
Τρῶαϲ ἀπώϲαϲθαι καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν',
αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο καθήμενοϲ οἶοϲ ἐν Ἴδῃ."
τὴν δὲ μέγ' ὀχθήϲαϲ προϲέφη κρείων Ἐνοϲίχθων·
„Ἥρη ἀπτοϜεπέϲ, ποῖον τὸν μῦθον ἔϜειπεϲ;
οὐκ ἂν ἔγωγ' ἐθέλοιμι Διὶ Κρονίωνι μάχεϲθαι
ἡμέαϲ τοὺϲ ἄλλουϲ, ἐπεὶ ἦ πολὺ φέρτερόϲ ἐϲτιν."
ὣϲ οἳ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον·
τῶν δ', ὅϲον ἐκ νηῶν ἀπὸ πύργου τάφροϲ ἔϜεργεν,

182 = Ξ 47 183 cf. Ι 243 184 = Ψ 442 185 cf. Τ 400 187 = Ζ 395 191 = Ψ 414. Μ 412 201 = Η 455 204ᵇ = Η 21 206ᵇ = Ξ 265. Ω 331. 208 = Λ 517 et Λ 751 210—1 = Υ 134—5 212 = Ε 274.

183 om. ACD, habent GH et Eust. — γρ. περὶ καπνῷ Eust. 185 ἀθετεῖται schol. A 189 damnarunt Aristoph. Ar., supplendo et emendando locum tentavit Friedlaender, an. hom. p. 460 — ἀνώγει C 190 ὅς περ: ὅστις C 191 ὄφρα ACD Ar.: γρ. αἴ κε schol. A 196 γε Thiersch: κε codd. 197 αὐτονυχεὶ CD 206 Ζῆν' ACD Ζῆν Hermann, cf. prol. § 69 207 ἔνθα κάθοιτ' ἀκαχήμενος Zen. 209 γρ. ἀπτοεπές schol. A et Et. M. 133, 43, ἀεπτοεπές Wackernagel 213 γρ. ἀπὸ τάφρου πύργος schol. A — γρ. ἔρυκε Ar.

πλῆθεν ὁμῶς ἵππων τε καὶ ἀνδρῶν ἀσπιστάων 15
Ϝειλομένων· Ϝείλει δὲ θοῷ ἀτάλαντος Ἄρηι
Ἕκτωρ Πριαμίδης, ὅτε Ϝοι Ζεὺς κῦδος ἔδωκεν.
καί νύ κ' ἐνέπρησεν πυρὶ κηλέῳ νῆας ἐϜίσας,
εἰ μὴ ἐπὶ φρεσὶ θῆκ' Ἀγαμέμνονι πότνια Ἥρη
αὐτῷ ποιπνύσαντι θοῶς ὀτρῦναι Ἀχαιούς.
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ,
στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηὶ μελαίνῃ,
ἥ ῥ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε·
[ἠμὲν ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο
ἠδ' ἐπ' Ἀχιλλῆος, τοί ῥ' ἔσχατα νῆας ἐϜίσας
εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν.]
ἤυσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
„αἰδώς, Ἀργεῖοι, κάκ' ἐλέγχεα, Ϝεῖδος ἀγητοί·
πῇ ἔβαν εὐχωλαί, ὅτε δὴ φάμεν εἶναι ἄριστοι,
[ἅς, ὁπότ' ἐν Λήμνῳ, κενεαυχέες ἠγοράασθε,
ἔσθοντες κρέα πολλὰ βοῶν ὀρθοκραιράων,
πίνοντες κρητῆρας ἐπιστεφέας Ϝοίνοιο,]
Τρώων ἄνθ' ἑκατόν τε διηκοσίων τε Ϝέκαστος
στήσεσθ' ἐν πολέμῳ· νῦν δ' οὐδ' ἑνὸς ἄξιοί εἰμεν
Ἕκτορος, ὃς τάχα νῆας ἐνιπρήσει πυρὶ κηλέῳ.
Ζεῦ πάτερ, ἦ ῥά τιν' ἤδη ὑπερμενέων βασιλήων
τῇδ' ἄτῃ ἄασας καί μιν μέγα κῦδος ἀπεύρας;
οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμόν
νηὶ πολυκλήϜιδι παρελθέμεν ἐνθάδε Ϝέρρων,
ἀλλ' ἐπὶ πᾶσι βοῶν δημὸν καὶ μηρί' ἔκηα,
Ϝιέμενος Τροίην εὐτείχεον ἐξαλαπάξαι.
ἀλλὰ Ζεῦ τόδε πέρ μοι ἐπικρήηνον ἐϜέλδωρ·
αὐτοὺς δή περ ἔασον ὑπεκφυγέειν καὶ ἀλύξαι,
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς"
ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέϜοντα,

216 = *Λ* 300. *T* 204   218[a] = *ε* 427. *σ* 158   220 = *Λ* 617. *N* 167   222–6 = *Λ* 5—9   227 = *Λ* 275. 586. *P* 247. *M* 439. *N* 149   228 = *E* 787   229 cf. *B* 339   231[b] = *μ* 348   232 = *β* 431   235 cf. *O* 507   241 = *Λ* 129   242 = *Λ* 455   244 = *O* 376   245 = *P* 648.

214 *πλῆσθεν* C   217 *κεν ἔπρησεν* AD   224—6 (= *Λ* 7—9) om. ACD, habet Eust.   228 *ἐλέγχεα* ACD, cf. *E* 787   230—32 a cyclico poeta interpolati esse videntur ex genuino versu *πῇ ἔβαν εὐχωλαί, ἃς πολλὰ μάλ' ἠγοράασθε*, cf. prol. p. 21   231 damnavit Ar.   233 fort. *δ' ἀνθ'*   234 *δ'* om. Ar.   235 damnarunt Aristoph. Ar.   237 *ἄασας* C: *ἄσας* AD Ambr., cf. prol. p. 177 — *ἀπηύρας* codd., cf. prol. p. 112   240 *ἔκηα* CD et γρ. A: *ἔκηον* A   *ἔκαιον* Ambr.   241 *εὐτειχέα* Nauck   244 om. Ambr.   245 *ὀλοφύρατο* D et γρ. A: *ὀλοφύρετο* AC.

νεῦσε δέ Ϝοι λαὸν σόον ἔμμεναι οὐδ' ἀπολεῖσθαι. 15
αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
νεβρὸν ἔχοντ' ὀνύχεσσι, τέκος ἐλάφοιο ταχείης·
πὰρ δὲ Διὸς βωμῷ περικαλλέι κάββαλε νεβρόν,
ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί.
οἳ δ' ὡς οὖν ἐϜίδονθ' ὅ τ' ἄρ' ἐκ Διὸς ἤλυθεν ὄρνις,
μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
ἔνθ' οὔ τις πρότερος Δαναῶν, πολλῶν περ ἐόντων,
εὔξατο Τυδεΐδαο πάρος σχέμεν ὠκέας ἵππους
τάφρου τ' ἐξελάσαι καὶ ἐναντίβιον μαχέσασθαι,
ἀλλὰ πολὺ πρῶτος Τρώων ἕλεν ἄνδρα κορυστήν,
Φραδμονίδην Ἀγέλαον. ὃ μὲν φύγαδ' ἔτραπεν ἵππους·
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν.
ἤριπε δ' ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
τὸν δὲ μετ' Ἀτρεΐδαι Ἀγαμέμνων καὶ Μενέλαος,
τοῖσι δ' ἐπ' Αἴαντες θοῦριν ἐπιϜειμένοι ἀλκήν,
τοῖσι δ' ἐπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρεϊφόντῃ,
τοῖσι δ' ἐπ' Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός·
Τεῦκρος δ' εἴνατος ἦλθε, παλίντονα τόξα τιταίνων,
στῆ δ' ἄρ' ὑπ' Αἴαντος σάκεϊ Τελαμωνιάδαο.
ἔνθ' Αἴας μὲν ὑπεξέφερεν σάκος· αὐτὰρ ὅ γ' ἥρως
παπτήνας, ἐπεὶ ἄρ τιν' ὀιστεύσας ἐν ὁμίλῳ
βεβλήκοι, ὃ μὲν αὖθι πεσὼν ἀπὸ θυμὸν ὄλεσσεν,
αὐτὰρ ὃ αὖτις ἰών, πάις ὣς ὑπὸ μητέρα, δύσκεν
εἰς Αἴανθ'· ὃ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ.
ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τεῦκρος ἀμύμων;
Ὀρσίλοχον μὲν πρῶτα καὶ Ὄρμενον ἠδ' Ὀφελέστην
Δαίτορά τε Χρομίον τε καὶ ἀντίθεον Λυκοφόντην
καὶ Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον.

246[b] = *Λ* 117   247 = *Ω* 315   252 = *Ξ* 441. *O* 380   256[b] = *Δ* 457   258—60 = *E* 40–2   260 = *E* 294   262—5 = *H* 164—7   267 = *Σ* 193   273[a] = *E* 703   274[b] = *Φ* 210.

246 *ἀπολεῖσθαι* Ar., quod collatis *ι* 496 et *μ* 230 defendit Naber quaest. hom. 103: *ἀπολέσθαι* codd., *ὀλέεσθαι* malo   249 *κάμβαλε* C γρ. *θήκατο* A   253 hinc novum carmen ordiri statuit Lachmann Betr. p. 23   257 γρ. *ἔτρεπεν* A   260 γρ. *ὀχέων ὑπερώησαν δὲ οἵ ἵπποι* A   261—5 ab interpolatore *Τεύκρου ἀριστείαν* inserente interpolatos esse ducit Friedlaender an. hom. p. 464   266 *ἔννατος* Nauck   267 *στῆ δ' ἄρ' ὑπ'* CD et γρ. A: *στῆ δὲ παρ'* A   270 *βεβλήκοι* C Ar.: *βεβλήκει* AD, cf. Bekker Hom. Bl. II 47   274 *ἠδὲ Φολέστην* H   276 *Ἀμοπάονα* AD: *Ἁμοπάονα* C, γρ. *ἅμ' ὀπάονα* schol. A et Eust.

[πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.] 15
τὸν δὲ Fιδὼν γήθησε Fάναξ ἀνδρῶν Ἀγαμέμνων,
τόξου ἄπο κρατεροῦ Τρώων ὀλέκοντα φάλαγγας·
στῆ δὲ παρ' αὐτὸν ἰών, καί μιν πρὸς μῦθον ἔFειπεν·
„Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,
βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι
πατρί τε σῷ Τελαμῶνι, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα
καί σε νόθον περ ἐόντα κομίσσατο Fῷ ἐνὶ Fοίκῳ·
τὸν καὶ τηλόθ' ἐόντα ἐυκλεFίης ἐπίβησον.
σοὶ δ' ἐγὼ ἐκFερέω ὡς καὶ τετελεσμένον ἔσται·
αἴ κέν μοι δῴῃ Ζεύς τ' αἰγίοχος καὶ Ἀθήνη
Ἴλιον ἐξαλαπάξαι, ἐυκτίμενον πτολίεθρον,
πρώτῳ τοι μετ' ἐμὲ πρεσβήιον ἐν χερὶ θήσω,
ἢ τρίποδ' ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν
ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι.“
    τὸν δ' ἀπαμειβόμενος προσεφώνεε Τεῦκρος ἀμύμων·
„Ἀτρεΐδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτόν
ὀτρύνεις; οὐ μέν τοι, ὅση δύναμίς γε πάρεστιν,
παύομαι, ἀλλ' ἐξ οὗ προτὶ Ἴλιον ὠσάμεθ' αὐτούς,
ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος ἄνδρας ἐναίρω.
ὀκτὼ δὴ προέηκα τανυγλώχινας ὀιστούς,
πάντες δ' ἐν χροῒ πῆχθεν ἀρηιθόων αἰζηῶν·
τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.“
    ἦ ῥα, καὶ ἄλλον ὀιστὸν ἀπὸ νευρῆφιν ἴαλλεν
Ἕκτορος ἀντικρύ, βαλέειν δέ Fε Fίετο θυμός.
καὶ τοῦ μέν ῥ' ἀφάμαρθ', ὁ δ' ἀμύμονα Γοργυθίωνα,
υἱὸν ἐὺν Πριάμοιο, κατὰ στῆθος βάλεν ἰῷ,
τόν ῥ' ἐξ Αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ,
καλὴ Καστιάνειρα, δέμας FεFικυῖα θεῇσιν.
μήκων δ' ὡς ἑτέρωσε κάρη βάλεν, ἥ τ' ἐνὶ κήπῳ
καρπῷ βριθομένη νοτίῃσί τε Fειαρινῇσιν·
ὣς ἑτέρωσ' ἤμυσε κάρη πήληκι βαρυνθέν.
    Τεῦκρος δ' ἄλλον ὀιστὸν ἀπὸ νευρῆφιν ἴαλλεν
Ἕκτορος ἀντικρύ, βαλέειν δέ Fε Fίετο θυμός.

277 = *M* 194. *Π* 418   278 = *Δ* 255   280 = *H* 46 281^{b} = *H* 234 282^{b} = *Λ* 223 283^{b} = *X* 480   286 cf. *Λ* 212   288 = *Δ* 33   298 = *O* 315   302 = 119 303^{b} = *N* 586   309 = *O* 458 et *Θ* 300   309—10 = 300—1.

277 om. ACD, habent HS   284 damnarunt Aristoph. Ar., ne scripsit quidem Zen., habent codd., cf. *M* 371   287 *αἴ κεν ἐμοὶ* Nauck *δῴη* ACD   288 *Ἰλίου* codd., cf. *B* 133   289 *χειρὶ θείω* D   290 *ἵππω* Zen. Aristoph.   294 *τοι* CD: *μοι* A   295 *γρ. παύσομαι* Eust.   296 *δεδεχμένος* Herodianus   299 *γρ. λωβητῆρα* Eust.   304 *Αἰσύμηθεν* codd.: *Αἰσύμνηθεν* Zen. Aristoph. Ar.   305 *Κασσιέπεια θεοῖς δέμας εἰοικυῖα* Athenaeus XIV p. 632 F.

ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτε· παρέσφηλεν γὰρ Ἀπόλλων· 15
ἀλλ' Ἀρχεπτόλεμον, θρασὺν Ἕκτορος ἡνιοχῆα,
Fιέμενον πόλεμόνδε βάλε στῆθος παρὰ μαζόν.
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ Fοι ἵπποι
ὠκύποδες· τοῦ δ' αὖθι λύθη ψυχή τε μένος τε.
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴασε καὶ ἀχνύμενός περ ἑταίρου,
Κεβριόνην δ' ἐκέλευσεν ἀδελφεὸν ἐγγὺς ἐόντα
ἵππων ἡνί' ἑλεῖν· ὁ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας.
αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος
σμερδαλέα Fιάχων· ὁ δὲ χερμάδιον λάβε χειρί,
βῆ δ' ἰθὺς Τεύκρου, βαλέειν δέ Fε θυμὸς ἀνώγει.
ἦ τοι ὁ μὲν φαρέτρης ἐξείλετο πικρὸν ὀιστόν,
θῆκε δ' ἐπὶ νευρῇ· τὸν δ' αὖ κορυθαίολος Ἕκτωρ
αὐερύοντα παρ' ὦμον, ὅθι κληFὶς ἀποFέργει
αὐχένα τε στῆθός τε, μάλιστα δὲ καίριόν ἐστιν,
τῇ ῥ' ἐπὶ Fοῖ μεμαῶτα βάλεν λίθῳ ὀκριόεντι,
Fρῆξε δέ Fοι νευρήν· νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ.
στῆ δὲ γνὺξ ἐριπών, τόξον δέ Fοι ἔκπεσε χειρός.
Αἴας δ' οὐκ ἀμέλησε κασιγνήτοιο πεσόντος,
ἀλλὰ θέFων περίβη καί Fοι σάκος ἀμφεκάλυψεν.
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίFηρες ἑταῖροι,
Μηκιστεὺς Ἐχίοιο πάις καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα·
ἂψ δ' αὖτις Τρώεσσιν Ὀλύμπιος ἐν μένος ὦρσεν.
οἳ δ' ἰθὺς τάφροιο βαθείης ὦσαν Ἀχαιούς,
Ἕκτωρ δ' ἐν πρώτοισι κίε σθένεϊ βλεμεαίνων.
ὡς δ' ὅτε τίς τε κύων συὸς ἀγρίου ἠὲ λέοντος
ἅπτηται κατόπισθε, ποσὶν ταχέεσσι διώκων,
ἰσχία τε γλουτούς τε, Fελισσόμενόν τε δοκεύῃ,
ὣς Ἕκτωρ ὤπαζε καρηκομόωντας Ἀχαιούς,
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον, οἳ δὲ φέβοντο.
αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες, πολλοὶ δὲ δάμεν Τρώων ὑπὸ χερσίν,
οἳ μὲν δὴ παρὰ νηυσὶν ἐρητύοντο μένοντες,

311^{a} = *N* 518   313—7 = 121—5   320 = *Ψ* 509   321 = *E* 302 326^{b} = 84   329 = *E* 309 et *O* 465   331—4 = *N* 420—3   337 = *Λ* 61 et *I* 237   342 = *Λ* 178   343—5 = *O* 1—3   345—7 = *O* 367—9.

311 *καὶ τόθ'*: *γρ. τοῦ μὲν* schol. A   313 *ἱέμενον*: *νισσόμενον* D, *ἵππων ἡνί' ἔχοντα βάλε* *Θ* 121   322 *ἄνωγεν* D   325 *αὖ ἐρύοντα* CD   328 *γρ. χεῖρ'* schol. A   337 *δ' ἐν*: *δὲ* Ar., cf. La Roche Hom. Text. 393   339 *διώκων* A: *πεποιθὼς* CD et *γρ.*A   340 *δοκεύῃ* Nauck: *δοκεύει* codd.   342 *δ' ἐφέβοντο* D.

ἀλλήλοιςί τε κεκλόμενοι καὶ πᾶςι θεοῖςιν 15
χεῖρας ἀνίςχοντες μεγάλ᾽ εὐχετόωντο Fέκαςτος·
Ἕκτωρ δ᾽ ἀμφιπεριςτρώφα καλλίτριχας ἵππους,
Γοργοῦς ὄμματ᾽ ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος.
τοὺς δὲ Fιδοῦς᾽ ἐλέηςε θεὰ λευκώλενος Ἥρη,
αἶψα δ᾽ Ἀθηναίην Fέπεα πτερόεντα προςηύδα·
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, οὐκέτι νῶι
ὀλλυμένων Δαναῶν κεκαδηςόμεθ᾽ ὑςτάτιόν περ;
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήςαντες ὄλωνται
ἀνδρὸς ἑνὸς Fριπῇ· ὁ δὲ μαίνεται οὐκέτ᾽ ἀνεκτῶς
Ἕκτωρ Πριαμίδης, καὶ δὴ κακὰ πολλὰ FέFοργεν.“
τὴν δ᾽ αὖτε προςέFειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„καὶ λίην οὗτός γε μένος θυμόν τ᾽ ὀλέςειεν,
χερςὶν ὑπ᾽ Ἀργείων φθίμενος ἐν πατρίδι γαίῃ·
ἀλλὰ πατὴρ οὑμὸς φρεςὶ μαίνεται οὐκ ἀγαθῇςιν,
ςχέτλιος, αἰὲν ἀλιτρός, ἐμῶν μενέων ἀπερωεύς.
οὐδέ τι τῶν μέμνηται, ὅ Fοι μάλα πολλάκις υἱόν
τειρόμενον ςώεςκον ὑπ᾽ Εὐρυςθῆος ἀέθλων.
ἦ τοι ὁ μὲν κλαίεςκε πρὸς οὐρανόν, αὐτὰρ ἐμὲ Ζεύς
τῷ ἐπαλεξήςουςαν ἀπ᾽ οὐρανόθεν προΐαλλεν.
εἰ γὰρ ἐγὼ τάδε Fείδε᾽ ἐνὶ φρεςὶ πευκαλίμῃςιν,
εὖτέ μιν εἰς Ἀίδαο πυλάρταο προέπεμψεν
ἐξ Ἐρέβευς ἄξοντα κύνα ςτυγεροῦ Ἀίδαο,
οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέFεθρα.
νῦν δ᾽ ἐμὲ μὲν ςτυγέει, Θέτιδος δ᾽ ἐξήνυςε βουλάς,
ἥ Fοι γούνατ᾽ ἔκυςςε καὶ ἔλλαβε χειρὶ γενείου,
λιςςομένη τιμῆςαι Ἀχιλλῆα πτολίπορθον.
ἔςται μὰν ὅτ᾽ ἂν αὖτε φίλην γλαυκώπιδα Fείπῃ.
ἀλλὰ ςὺ μὲν νῦν νῶιν ἐπέντυε μώνυχας ἵππους,
ὄφρ᾽ ἂν ἐγὼ καταδῦςα Διὸς δόμον αἰγιόχοιο
τεύχεςιν ἐς πόλεμον θωρήξομαι, ὄφρα Fίδωμαι,
ἦ νῶι Πριάμοιο πάις κορυθαίολος Ἕκτωρ
γηθήςει προφανέντε ἀνὰ πτολέμοιο γεφύρας,

351 = Δ 69   352 = *B* 157   354 = 34 355^b = ι 350
357 = *A* 206 358^a = α 46 359^b = *X* 404 366^b = Ξ 165
371 cf. *A* 500   372 = *O* 77   376 = E 737 et Z 365 378^b = Δ 371.

349 *Γοργόνος* Zen — *ὄμματ᾽* codd. Zen.: *οἴματ᾽* Ar. — *ἠὲ* Zen.: *ἠδὲ* codd., cf. *E* 783   353 *Δαναῶν*: *γρ.* *Ἀργείων* schol. A   363 *σαόεσκεν* Nauck   367 *προὔπεμψεν* codd., cf. prol. p. 179   371—2 damnarunt Aristoph. Ar., ne scripsit quidem Zeu.   376 *γρ.* *ἴδωμεν* A   377 *νῶιν* D Zen.   378 *προφανέντε* A Ar.: *προφανείσας* C Herod., *προφανείσα* D et *γρ.* A, *προφανείσας ἰδὼν ἐς δοῦπον ἀκόντων* Zen., cf. Z 455 et prol. p. 127.

ἤ τις καὶ Τρώων κορέει κύνας ἠδ᾽ οἰωνούς 15
δημῷ καὶ ςάρκεςςι, πεςὼν ἐπὶ νηυςὶν Ἀχαιῶν.“
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθηςε θεὰ λευκώλενος Ἥρη.
ἣ μὲν ἐποιχομένη χρυςάμπυκας ἔντυεν ἵππους
Ἥρα πρέςβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ᾽ οὔδει,
ποικίλον, ὅν ῥ᾽ αὐτὴ ποιήςατο καὶ κάμε χερςίν,
ἣ δὲ χιτῶν᾽ ἐνδῦςα Διὸς νεφεληγερέταο
τεύχεςιν ἐς πόλεμον θωρήςςετο δακρυόεντα.
ἐς δ᾽ ὄχεα φλόγεα ποςὶ βήςετο, λάζετο δ᾽ ἔγχος
βριθὺ μέγα ςτιβαρόν, τῷ δάμνηςι ςτίχας ἀνδρῶν
ἡρώων, τοῖςίν τε κοτέςςεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάςτιγι θοῶς ἐπεμαίετ᾽ ἄρ᾽ ἵππους·
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ᾽ ἐπιθεῖναι.
τῇ ῥα δι᾽ αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ Fίδε, χώςατ᾽ ἄρ᾽ αἰνῶς,
Ἶριν δ᾽ ὤτρυνε χρυςόπτερον ἀγγελέουςαν·
„βάςκ᾽ ἴθι, Ἶρι ταχεῖα, πάλιν τρέπε μηδ᾽ ἔα ἄντην
ἔρχεςθ᾽· οὐ γὰρ καλὰ ςυνοιςόμεθα πτόλεμόνδε.
ὧδε γὰρ ἐκFερέω, τὸ δὲ καὶ τετελεςμένον ἔςται·
γυιώςω μέν ςφωιν ὑφ᾽ ἅρμαςιν ὠκέας ἵππους,
αὐτὰς δ᾽ ἐκ δίφρου βαλέω, κατά θ᾽ ἅρματα Fάξω·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτούς
ἕλκε᾽ ἀπαλθήςεςθον, ἅ κεν μάρπτηςι κεραυνός·
ὄφρ᾽ εἰδῇ γλαυκῶπις, ὅτ᾽ ἂν Fῷ πατρὶ μάχηται.
Ἥρῃ δ᾽ οὔ τι τόςον νεμεςίζομαι οὐδὲ χολοῦμαι·
αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττί κε Fείπω.“
ὣς ἔφατ᾽, ὦρτο δὲ Ἶρις ἀFελλόπος ἀγγελέουςα,
βῆ δ᾽ ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
πρώτῃςιν δὲ πύλῃςι πολυπτύχου Οὐλύμποιο
ἀντομένη κατέρυκε, Διὸς δέ ςφ᾽ ἔννεπε μῦθον·

379—80 = *N* 831—2   381—3 = *E* 719—21   381 = Ξ 277. *O* 78   384—88 = *E* 733—7   389—96 = E 745—52   398 = *Λ* 185 399^a = *Λ* 186. *O* 158. Ω 144   401 = *Λ* 212 402^b = Σ 241. Ω 14   409 = Ω 77. 159   410 = *O* 79 410^a = *Λ* 196. *O* 169.

383 om. D   385—7 damnarunt Aristoph. Ar., ne scripsit quidem Zen., habent codd.   389 *λάζυτο* Ptolemaeus Oroandae   390—1 *ἀθετοῦνται* schol. A   390 *δάμνησι* Dionysius Sidon.: *δάμνῃσι* AD Ar., cf. prol. § 89   401 *τὸ δὲ καὶ* CD et *γρ.* A: *ὥς καὶ* A   405 *ἀπαλθήσονται* alt. edit. Aristarchi   406 fort. *ὄφρα Ϝιδέῃ*, ut *Ϝιδέω* scriptum est Ξ 235   408 *κεν εἴπω* Ar.: *νοήσω* ACD   410 om. AC, habet D et in marg. add. AC — *δ᾽ ἐξ* Ar. teste Aristonico ad *Λ* 196: *δὲ κατ᾽* codd.

„πῆ μέματον; τί cφῶιν ἐνὶ φρεcὶ μαίνεται ἦτορ;
οὐκ ἐάᾳ Κρονίδης ἐπαμυνέμεν Ἀργείοιcιν.
ὧδε γὰρ ἠπείληcε Κρόνου πάιc, ᾗ τελέει περ,
γυιώcειν μὲν cφῶιν ὑφ᾽ ἅρμαcιν ὠκέαc ἵππουc,
αὐτὰc δ᾽ ἐκ δίφρου βαλέειν, κατά θ᾽ ἅρματα Fάξειν·
οὐδέ κεν ἐc δεκάτουc περιτελλομένουc ἐνιαυτούc
ἕλκε᾽ ἀπαλθήcεcθον, ἅ κεν μάρπτηcι κεραυνόc,
ὄφρ᾽ εἰδῇc, γλαυκῶπι, ὅτ᾽ ἂν cῷ πατρὶ μάχηαι.
Ἥρῃ δ᾽ οὔ τι τόcον νεμεcίζεται οὐδὲ χολοῦται·
αἰεὶ γάρ Fοι ἔωθεν ἐνικλᾶν ὅττί κε Fείπῃ.
ἀλλὰ cύ γ᾽ αἰνοτάτη, κύον ἀδFεέc, εἰ ἐτεόν γε
τολμήcειc Διὸc ἄντα πελώριον ἔγχοc ἀεῖραι.“
ἡ μὲν ἄρ᾽ ὣc Fειποῦc᾽ ἀπέβη πόδαc ὠκέα Ἶριc,
αὐτὰρ Ἀθηναίην Ἥρη πρὸc μῦθον ἔFειπεν·
„ὢ πόποι, αἰγιόχοιο Διὸc τέκοc, οὐκέτ᾽ ἔγωγε
νῶι ἐῶ Διὸc ἄντα βροτῶν ἕνεκα πτολεμίζειν.
τῶν ἄλλοc μὲν ἀποφθίcθω, ἄλλοc δὲ βιώτω,
ὅc κε τύχῃ· κεῖνοc δὲ τὰ Fὰ φρονέων ἐνὶ θυμῷ
Τρωcί τε καὶ Δαναοῖcι δικαζέτω, ὡc ἐπιFεικέc.“
ὣc ἄρα φωνήcαcα πάλιν τρέπε μώνυχαc ἵππουc.
τῇcιν δ᾽ Ὧραι μὲν λῦcαν καλλίτριχαc ἵππουc,
καὶ τοὺc μὲν κατέδηcαν ἐπ᾽ ἀμβροcίῃcι κάπῃcιν,
ἅρματα δ᾽ ἔκλιναν πρὸc ἐνώπια παμφανόωντα·
αὐταὶ δὲ χρυcέοιcιν ἐπὶ κλιcμοῖcι καθῖζον
μίγδ᾽ ἄλλοιcι θεοῖcι, φίλον τετιημέναι ἦτορ.
Ζεὺc δὲ πατὴρ Ἴδηθεν ἐύτροχον ἅρμα καὶ ἵππουc
Οὔλυμπόνδε δίωκε, θεῶν δ᾽ ἐξίκετο θώκουc.
τῷ δὲ καὶ ἵππουc μὲν λῦcε κλυτὸc Ἐννοcίγαιοc,
ἅρματα δ᾽ ἂμ βωμοῖcι τίθει, κατὰ λῖτα πετάccαc·
αὐτὸc δὲ χρύcειον ἐπὶ θρόνον εὐρύοπα Ζεύc
ἕζετο, τῷ δ᾽ ὑπὸ ποccὶ μέγαc πελεμίζετ᾽ Ὄλυμποc.
αἳ δ᾽ οἶαι Διὸc ἀμφὶc Ἀθηναίη τε καὶ Ἥρη
ἥcθην, οὐδέ τί μιν προcεφώνεον οὐδ᾽ ἐρέοντο.
αὐτὰρ ὃ ἔγνω Fῇcιν ἐνὶ φρεcί, φώνηcέν τε·
„τίφθ᾽ οὕτω τετίηcθον, Ἀθηναίη τε καὶ Ἥρη;
οὐ μέν θην κάμετόν γε μάχῃ ἔνι κυδιανείρῃ

416—22 = 402—8 425 = *Λ* 210. *Σ* 202. *Ω* 188 426 = *Β* 156
427 = 352 434 = *δ* 40 435 = *δ* 42. *Ν* 261 445—6 = *Α* 332-3.

415 *ᾗ* Ar.: *εἰ* ACD 420—4 *ἀθετοῦνται* schol. A 420 *γλαυκῶπις* Vrat., cf. *O* 49. *Σ* 357. 385. *Ω* 88 422 *κε Ϝείπῃ: νοήσῃ* AD *νοήσει* C, cf. 408 423 *ἀδεὲς* Ar. *ἀδδεὲς* ACD 428 *νῶιν* C et *γρ.* schol. A, *νῶ* D 429 *ἀποφθείσθω* A 432 *τράπε* C 433 *τῇσι δέ θ᾽ Ὧραι* malo 439 *ἵκανε θοώκους* coni. Nauck 448 *καμέτην* Zen., eundem Atticismum Zenodotus *K* 545. *Λ* 776. 782 Homero intrusit.

ὀλλῦcαι Τρῶαc, τοῖcιν κότον αἰνὸν ἔθεcθε.
πάντωc, οἷον ἐμόν γε μένοc καὶ χεῖρεc ἄαπτοι,
οὐκ ἄν με τρέψειαν ὅcοι θεοί εἰc᾽ ἐν Ὀλύμπῳ.
cφῶιν δὲ πρίν περ τρόμοc ἔλλαβε φαίδιμα γυῖα,
πρὶν πόλεμόν τε Fιδεῖν πολέμοιό τε μέρμερα Fέργα.
ὧδε γὰρ ἐκFερέω, τὸ δέ κεν τετελεcμένον ἦεν·
οὐκ ἂν ἐφ᾽ ὑμετέρων ὀχέων, πληγέντε κεραυνῷ,
ἂψ ἐc Ὄλυμπον ἵκεcθον, ἵν᾽ ἀθανάτων ἕδοc ἐcτίν.“
ὣc ἔφαθ᾽, αἳ δ᾽ ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη·
πληcίαι αἵ γ᾽ ἥcθην, κακὰ δὲ Τρώεccι μεδέcθην.
ἤ τοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι Fεῖπεν,
cκυζομένη Διὶ πατρί, χόλοc δέ μιν ἄγριοc ᾕρει·
Ἥρῃ δ᾽ οὐκ ἔχαδε cτῆθοc χόλον, ἀλλὰ προcηύδα·
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔFειπεc.
εὖ νυ καὶ ἡμεῖc Fίδμεν ὅ τοι cθένοc οὐκ ἀλαπαδνόν·
ἀλλ᾽ ἔμπηc Δαναῶν ὀλοφυρόμεθ᾽ αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήcαντεc ὄλωνται.
ἀλλ᾽ ἤ τοι πολέμου μὲν ἀφεξόμεθ᾽, εἰ σὺ κελεύσεις.
βουλὴν δ᾽ Ἀργείοις ὑποθησόμεθ᾽, ἥ τις ὀνήσει,
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο.“
τὴν δ᾽ ἀπαμειβόμενοc προcέφη νεφεληγερέτα Ζεύc·
„ἠοῦc δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
ὄψεαι, αἴ κ᾽ ἐθέληcθα, βοῶπιc πότνια Ἥρη,
ὀλλύντ᾽ Ἀργείων πουλὺν cτρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμου ἀποπαύcεται ὄβριμοc Ἕκτωρ,
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα
ἤματι τῷ, ὅτ᾽ ἂν οἳ μὲν ἐπὶ πρύμνῃcι μάχωνται
cτείνει ἐν αἰνοτάτῳ περὶ Πατρόκλοιο θανόντοc.
ὣc γὰρ θέcφατόν ἐcτι. cέθεν δ᾽ ἐγὼ οὐκ ἀλεγίζω
χωομένηc, οὐδ᾽ εἴ κε τὰ νείατα πείραθ᾽ ἵκηαι
γαίηc καὶ πόντοιο, ἵν᾽ Ἰαπετόc τε Κρόνοc τε
ἥμενοι οὔτ᾽ αὐγῇc Ὑπερίονοc ἠελίοιο
τέρποντ᾽ οὔτ᾽ ἀνέμοιcι, βαθὺc δέ τε Τάρταροc ἀμφίc.
οὐδ᾽ ἢν ἔνθ᾽ ἀφίκηαι ἀλωμένη, οὐ cεῦ ἔγωγε
cκυζομένηc ἀλέγω, ἐπεὶ οὐ cέο κύντερον ἄλλο.“

454 = 401 456 = *E* 360 457—62 = *Δ* 20—25 462 = *Α* 552
463—8 = 32—7 469 = *Α* 560 475ᵃ = *Β* 351 476 cf. *O* 426.

449 *τοῖσιν: τοῖον* Ar. 451 *ἂν ἐμὲ* Nauck 453 *τ᾽ ἰδέειν* codd., cf. prol. p. 147 454 *κεν τετελεσμένον ἦεν* A: *καὶ τετελεσμένον ἔσται* CD — *ἦεν: γρ. ἔπλεν* A 456 *ἵκεσθον* ACD: *ἵκεσθε* Cant. 458 om. C 463 *ἀλαπαδνόν* A: *ἐπιεικτὸν* CD et *γρ.* A 466—8 om. ACD, in marg. add. D 470 *ἠοῦς: ἄας* Zen. 471 *αἴ κ᾽: γρ. ἢν* A — *βοῶπις* AD: *βοῶπι* C 474 *ὦρθαι* CD 475—6 *ἀθετοῦνται* schol. A, cf. prol. p. 44 476 *θανόντος* AD: *πεσόντος* C et *γρ.* A.

ὣc φάτο, τὸν δ' οὔ τι προcέφη λευκώλενος Ἥρη. 15
ἐν δ' ἔπεc' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
ἕλκον νύκτα μέλαιναν ἐπὶ Ζείδωρον ἄρουραν.
Τρωcὶν μέν ῥ' ἀϜέκουcιν ἔδυ φάος, αὐτὰρ Ἀχαιοῖc
ἀcπαcίη τρίλλιcτος ἐπήλυθε νὺξ ἐρεβεννή.

Τρώων αὖτ' ἀγορὴν ποιήcατο φαίδιμος Ἕκτωρ,
νόcφι νεῶν ἀγαγών, ποταμῷ ἔπι δινήεντι
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος.
ἐξ ἵππων δ' ἀποβάντες ἐπὶ χθόνα μῦθον ἄκουον,
τόν ῥ' Ἕκτωρ ἀγόρευε διίφιλος· ἐν δ' ἄρα χειρί
ἔγχος ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρός
αἰχμὴ χαλκείη, περὶ δὲ χρύcεος θέϜε πόρκηc.
τῷ ὅ γ' ἐρειcάμενος Ϝέπεα Τρώεccι μετηύδα·
„κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι·
νῦν ἐφάμην νῆάς τ' ὀλέcας καὶ πάντας Ἀχαιούς
ἂψ ἀπονοcτήcειν προτὶ Ἴλιον ἠνεμόεccαν·
ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐcάωcε μάλιcτα
Ἀργείους καὶ νῆας ἐπὶ Ϝρηγμῖνι θαλάccηc.
ἀλλ' ἦ τοι νῦν μέν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπα τ' ἐφοπλιcόμεcθα· ἀτὰρ καλλίτριχας ἵππους
λύcαθ' ὑπὲξ ὀχέων, παρὰ δέ cφιcι βάλλετ' ἐδωδήν.
ἐκ πόλιος δ' ἄξεcθε βόας καὶ Ϝίφια μῆλα
καρπαλίμωc, Ϝοῖνον δὲ μελίφρονα ϜοινίΖεcθε
cῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεcθε,
ὥc κεν παννύχιοι μέcφ' ἠοῦc ἠριγενείηc
καίωμεν πυρὰ πολλά, cέλας δ' εἰc οὐρανὸν ἵκῃ,
μή πωc καὶ διὰ νύκτα καρηκομόωντες Ἀχαιοί
φεύγειν ὁρμήcονται ἐπ' εὐρέα νῶτα θαλάccηc.
μὴ μὰν ἀcπουδί γε νεῶν ἐπιβῶcι Ϝέκηλοι,
ἀλλ' ὥc τιc τούτων γε βέλος καὶ Ϝοίκοθι πέccῃ,
βλήμενος ἢ ἰῷ ἢ ἔγχεϊ ὀξυόεντι

484 = Φ 478 491 = Κ 199. Ω 61 493—5 = Ζ 318—20 496 = Β 109 497 = Γ 456 499 = Μ 115 502—3 = Ι 65–6 510 = Κ 101 et Β 323 511^{b} = Β 159 514^{b} = Ε 50.

481 *βαθὺς: πολὺς* C 488 *τρίλιστος* C 489 ab hoc versu novum carmen exordiri monuit Lachmann Betr. p. 26 489 *αὖτ'* Townl.: *δ' αὖτ'* ACD 493—6 damnavit Zen. 496 *ἔπεα πτερόεντ' ἀγόρευε* D et γρ. A 501 *νῆας ἐπεὶ Διὸς ἐτράπετο φρήν* Zen. 503 *ἐφοπλίζεσθον* Zen. 505 *ἄξεσθε* schol. A: *ἄξασθε* ACD 507 *τ': δ'* D 509 *ἥκει* supra *ει* scripto *οι* C 511 *φευγέμεν* Nauck — *ὁρμήσονται* Cant.: *ὁρμήσωνται* ACD, cf. prol. p. 114 512 *ἀσπουδεί* CD Ambr. — *ἐπιβῶσι* Bentley: *ἐπιβαῖεν* codd. 513 *τούτων: κείνων* Aristarchum scripsisse rettulit Parmenisco — *πέσσοι* Aristoph. et γρ. A.

νηὸc ἐπιθρῴcκων, ἵνα τιc cτυγέῃcι καὶ ἄλλοc 15
Τρωcὶν ἐφ' ἱπποδάμοιcι φέρειν πολύδακρυν Ἄρηα.
κήρυκεc δ' ἀνὰ Ϝάcτυ διίφιλοι ἀγγελλόντων
παῖδαc πρωθήβαc πολιοκροτάφουc τε γέρονταc
λέξαcθαι περὶ Ϝάcτυ θεοδμήτων ἐπὶ πύργων·
θηλύτεραι δὲ γυναῖκεc ἐνὶ μεγάροιcι Ϝεκάcτη
πῦρ μέγα καιόντων· φυλακὴ δέ τιc ἔμπεδοc ἔcτω,
μὴ λόχοc εἰcέλθῃcι πόλιν λαῶν ἀπεόντων.
ὧδ' ἔcτω, Τρῶεc μεγαλήτορεc, ὡc ἀγορεύω.
μῦθοc δ' ὃc μὲν νῦν ὑγιήc, εἰρημένοc ἔcτω·
τὸν δ' ἠοῦc Τρώεccι μεθ' ἱπποδάμοιc ἀγορεύcω.
Ϝέλπομαι εὐχόμενοc Διί τ' ἄλλοιcίν τε θεοῖcιν
ἐξελάαν ἐνθένδε κύναc κηρεccιφορήτουc.
[οὓc Κῆρεc φορέουcι μελαινάων ἐπὶ νηῶν.]
ἀλλ' ἦ τοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέαc αὐτούc,
πρῶι δ' ὑπηοῖοι cὺν τεύχεcι θωρηχθέντεc
νηυcὶν ἔπι γλαφυρῇcιν ἐγείρομεν ὀξὺν Ἄρηα.
Ϝείcομαι ἤ κέ μ' ὁ Τυδεΐδηc κρατερὸc Διομήδηc
πὰρ νηῶν πρὸc τεῖχοc ἀπώcεται, ἤ κεν ἐγὼ τόν
χαλκῷ δῃώcαc ἔναρα βροτόεντα φέρωμαι.
αὔριον ἣν ἀρετὴν διαείσεται, εἴ κ' ἐμὸν ἔγχος
μείνῃ ἐπερχόμενον. ἀλλ' ἐν πρώτοισιν, ὀίω,
κείσεται οὐτηθείς, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι,
ἠελίου ἀνιόντος ἐς αὔριον. εἰ γὰρ ἐγὼν ὥς
εἴην ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν."
ὣc Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶεc κελάδηcαν.
οἳ δ' ἵππουc μὲν λῦcαν ὑπὸ Ζυγοῦ ἱδρώονταc.

516 = Τ 318 526 cf. Β 597 530—1 = Σ 303—4 532^{b} = Λ 660 535 cf. ϑ 237 536 = Λ 535 et ϑ 180 537^{b} = Β 417 539 = ε 136 540—1 = Ν 827—8 542 = Σ 310 543 = δ 39.

515 *ἀποθρώσκων* C et γρ. A 519 *περὶ* CD Ambr. et γρ. A : *προτὶ* A 523 damnat Franke 524—5 *ἀθετοῦνται* schol. A, 523—29 del. Bekker 526 *ἔλπομαι εὐχόμενος* Zen.: *εὔχομαι ἐλπόμενος* codd. et Ar. 528 damnavit Ar., ne scripsit quidem Zen. 529 γρ. *ἐπὶ νύκτα* A 530 *ὑπ' ἠοίῃ* Apoll. de adv. 573, 8 531 *με Τυδ.* L et Nauck 532 *εἰ: αἰ* C et Apoll. Soph. 62, 29 534 γρ. *φεροίμην* A 532–4 aut 535–7 (non, ut Friedlaenderus statuit, 535–7 aut 538—41) delendos esse censuit Ar., priores ne scripsisse quidem dicitur Zen. 534—541 eiecit Bekker 535 *αἴ κ'* D et γρ. A 538 *εἰ γὰρ* A et Ar.: *αἰ γὰρ* CD 539 *ἀγήρως* A et Ar.: *ἀγήραος* CD 540 ignorasse Aristarchum ex schol. ad Θ 535 conclusit Friedlaender — *δ'* om. D 543 *ἔλυσαν* Nauck.

δῆcαν δ' ἱμάντεccι παρ' ἅρμαcι Fοῖcι Fέκαcτοc· 15
ἐκ πόλιοc δ' ἄξοντο βόαc καὶ Fίφια μῆλα
καρπαλίμωc, Fοῖνον δὲ μελίφρονα Fοινίζοντο
cῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο.
Fέρδον δ' ἀθανάτοιcι τεληέccαc ἑκατόμβαc,
κνίcην δ' ἐκ πεδίου ἄνεμοι φέρον οὐρανὸν εἴcω
Fηδεῖαν. τῆc δ' οὔ τι θεοὶ μάκαρεc δατέοντο,
οὐδ' ἔθελον· μάλα γάρ cφιν ἀπήχθετο Ἴλιοc ἱρή
καὶ Πρίαμοc καὶ λαὸc ἐυμμελίω Πριάμοιο.
οἳ δὲ μέγα φρονέοντεc ἀνὰ πτολέμοιο γεφύραc
εἵατο παννύχιοι, πυρὰ δέ cφιcι καίετο πολλά.
ὡc δ' ὅτ' ἐν οὐρανῷ ἄcτρα φαεινὴν ἀμφὶ cελήνην
φαίνετ' ἀριπρεπέα, ὅτε τ' ἔπλετο νήνεμοc αἰθήρ·
ἔκ τ' ἔφανεν πᾶcαι cκοπιαὶ καὶ πρώονεc ἄκροι
καὶ νάπαι· οὐρανόθεν δ' ἄρ' ὑπεFράγη ἄcπετοc αἰθήρ,
πάντα δὲ Fείδεται ἄcτρα, γέγηθε δέ τε φρένα ποιμήν·
τόccα μεcηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων
Τρώων καιόντων πυρὰ φαίνετο Ἰλιόθι πρό.
χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ Fεκάcτῳ
εἵατο πεντήκοντα cέλαι πυρὸc αἰθομένοιο.
ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύραc
ἑcταότεc παρ' ὄχεcφιν ἐύθρονον Ἠόα μίμνον.

544ᵇ = *Β* 775 545—7 = 505—7 548 = *Λ* 315 549ᵇ = *Λ* 44 552 = *Δ* 47 553ᵇ = *Δ* 371 557—8 = *Π* 299—300 561ᵇ = *Κ* 12. *Ν* 349. *ϑ* 581 564 = Ε 196.

545 *ἄξοντο: ἄξαντο* ACD, cf. *Θ* 505 548 et 550—2 in omnibus codicibus omissos ex Platonis Alcib. II p. 149 D inseruit Barnes 548—552 eiecit Bekker 553 *ἀνὰ* scripsi, ut traditum est in *Θ* 378: *ἐπὶ* hoc loco codd. — *γεφύρῃ* C, *γρ. γεφύρῃ* A, *γεφύρῃ ἢ γεφύραις* Eust. 557—8 damnaverunt Aristoph. et Ar., ne scripsit quidem Zen. 557 *πρώονες: πρηόνες* hic et *Π* 299 restitui iussit Wackernagel in Bezz. Beitr. IV 309 559 *δέ τ' εἴδεται* ACD 560 *τόσσα: γρ. τοῖα* et *ὡς τὰ* A 561 *Ἰλιόθι πρό* codd. hic et *Ν* 349. *ϑ* 581: *Ἰλίοο πρό* coni. Ahrens Rh. Mus. II 164, possis quoque conicere *Ἰλιόθεν πρό*, nisi errorem ad auctorem huius carminis ipsum referre mavis, cf. prol. p. 112 562 *χίλια: μύρια* Zen. — *πὰρ δὲ: ἐν δὲ* Zen. 565 *ἠῶ* codd., cf. prol. p. 180.

ΠΡΕΣΒΕΙΑ.

ὣc οἳ μὲν Τρῶεc φυλακὰc ἔχον· αὐτὰρ Ἀχαιούc I 1
θεcπεcίη ἔχε φύζα, φόβου κρυόεντοc ἑταίρη,
πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντεc ἄριcτοι.
ὡc δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
Βορρῆc καὶ Ζέφυροc, τώ τε Θρεΐκηθεν ἄFητον,
ἐλθόντ' ἐξαπίνηc· ἄμυδιc δέ τε κῦμα κελαινόν
κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκοc ἔχευεν·
ὣc ἐδαΐζετο θυμὸc ἐνὶ cτήθεccιν Ἀχαιῶν.
Ἀτρεΐδης δ' ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ
φοίτα κηρύκεσσι λιγυφθόγγοισι κελεύων
κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα Fέκαστον,
μηδὲ βοᾶν· αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο.
ἷζον δ' εἰν ἀγορῇ τετιηότες· ἂν δ' Ἀγαμέμνων
ἵστατο δάκρυ χέFων ὥς τε κρήνη μελάνυδρος,
ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέFει ὕδωρ.
ὣς ὃ βαρὺ στενάχων Fέπε' Ἀργείοισι μετηύδα·
„ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλεFέ' Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.

3ᵇ = *π* 251 5ᵃ = *Ψ* 195 8 = *Ο* 629. *Ν* 808 9 cf. *κ* 247 14—5 = *Π* 3—4 17 = *Β* 79 18—25 = *Β* 111—8.

Πρεσβεία cum amplificata memoriae tradita sit, versus a diasceuasta additos alio genere litterarum describendos curavi; ipsam legationem veteribus carminibus Iliadis a recentiore poeta additam videri exposuit Bernhardy Gr. Litt. I p. 139, quam sententiam Friedlaendero Lachmanno Koechlio Bergkio aliis comprobatam nuper Kammerus speciosiore quam subtiliore commentatione, Zur homerischen Frage III, ita refutabat, ut hunc librum non solum Homero vindicaret, sed etiam ante libros *Λ* et *Π* compositum diceret. Denique de ordine, quem hic liber intra Iliadis carmina obtineat et obtinere debeat, exposui prol. § 10. vv. 1—88 sollicitavit Bekker Hom. Bl. II 83, solos 9—88 damnavit Bergk Gr. Litt. 596, cf. prol. p. 33 3 damnat Duentzer Arist. p. 102 — *βεβλήατο* Zen. 4 *ἀνέμω* Aristoph. 5 *Βορρῆς: Βορέης* ACD Ambr. *Βορρέης* Porphyrius 5 et 72 *Θρῄκηθεν* codd., cf. prol. p. 177 7 *ἔχευεν* A Ambr.: *ἔχευαν* CD et *γρ.* schol. A 9 *βεβλημένος* codd. dett. 14—6 *χέων μετὰ δ' Ἀργείοισιν ἔειπεν* Zen. 16 *γρ. ὡς ὅ γε δακρυχέων* schol. A 18 *μέγας* Ar. 19 *πρὶν* codd.: *τότε* Ar. 20 *ἐυτείχεα* coni. Nauck, cf. *Λ* 129 21 *ἀπάτην: ἄτην* C m. pr. et Ambr. 22 *δυσκλέα* codd., cf. prol. p. 180.

οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι, 16
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ Ϝείπω, πειθώμεθα πάντες.
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν."
    ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
δϜὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν·
ὀψὲ δὲ δὴ μετέϜειπε βοὴν ἀγαθὸς Διομήδης·
„Ἀτρεΐδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι,
ἣ θέμις ἐστί, Ϝάναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.
ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν,
φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα
Ϝίσασ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
σοὶ δὲ διάνδιχα δῶκε Κρόνου πάις ἀγκυλομήτεω·
σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων,
ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ τε κράτος ἐστὶ μέγιστον.
δαιμόνι', οὕτω που μάλα Ϝέλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;
εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται ὥστε νέεσθαι,
ἔρχεο· πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης
ἑστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.
ἀλλ' ἄλλοι μενέουσι καρηκομόωντες Ἀχαιοί,
εἰς ὅ κέ περ Τροίην διαπέρσομεν. εἰ δὲ καὶ αὐτοί,
φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
νῶι δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ', εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν."
    ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν,
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
τοῖσι δ' ἀνιστάμενος μετεφώνεεν ἱππότα Νέστωρ·
„Τυδεΐδη, περὶ μὲν πολέμῳ ἔνι καρτερός ἐσσι,
καὶ βουλῇ μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριστος.
οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί,
οὐδὲ πάλιν Ϝερέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.

26—8 = *Β* 139—41   29 = *Γ* 95   30—1 = 695—6   31 = *Η* 399   33ª = *Β* 73   34 cf. *Δ* 370 sq.   37ᵇ = *Β* 205   40ᵇ = *Ρ* 180   47 = 27   48—9 = *Η* 30—1   50—1 = *Η* 403—4.

23—5 damnant Aristoph. Ar., 23—28 om. Zen.   29—30 ἦτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο θυμὸν ἀχεύων | τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Διομήδης Zen.   30 ἄνεω CD   32 μαχήσομαι codd. et Ar., cf. prol. p. 108   36 Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες Zen.   38 γρ. σκῆπτρον A   38 et 39 ἔδωκε coni. Nauck   42 ἐπέσσυται ἀπονέεσθαι coni. Nauck   44 ἀθετεῖται schol. A   52 γρ. τοῖσι δὲ καὶ μετέειπε Γερήνιος A   53 ἐνὶ CD: ἒν A.

ἦ μὴν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάις εἴης 16
ὁπλότατος γενεῆφιν· ἀτὰρ πεπνυμένα βάζεις.
[Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔϜειπες].
ἀλλ' ἄγ' ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐκϜείπω καὶ πάντα διίξομαι· οὐδέ κέ τίς μοι
μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.
ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίοο κρυόεντος.
ἀλλ' ἦ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ Ϝέκαστοι
λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,
Ἀτρεΐδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι·
δαίνυ δαῖτα γέρουσι· ϜέϜοικέ τοι, οὔ τοι ἀϜεικές.
πλεῖαί τοι Ϝοίνου κλισίαι, τὸν νῆες Ἀχαιῶν
ἠμάτιαι Θρηΐκηθεν ἐπ' εὐρέα πόντον ἄγουσιν·
πᾶσά τοι ἔσθ' ὑποδεξίη, πολέσιν δὲ Ϝανάσσεις.
πολλῶν δ' ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην
βουλὴν βουλεύσῃ. μάλα δὲ χρεὼ πάντας Ἀχαιούς
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήιοι ἐγγύθι νηῶν
καίουσιν πυρὰ πολλά· τίς ἂν τάδε γηθήσειεν;
νὺξ δ' ἥδ' ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει."
    ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.
ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο
ἀμφί τε Νεστορίδην Θρασυμήδεα, ποιμένα λαῶν,
ἠδ' ἀμφ' Ἀσκάλαφον καὶ Ἰάλμενον υἷας Ἄρηος,
ἀμφί τε Μηριόνην Ἀφαρῆά τε Δηίπυρόν τε,
ἠδ' ἀμφὶ Κρείοντος υἱόν, Λυκομήδεα δῖον.
ἕπτ' ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ Ϝεκάστῳ
κοῦροι ἅμα στεῖχον, δολίχ' ἔγχεα χερσὶν ἔχοντες.
κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἷζον ἰόντες·
ἔνθα δὲ πῦρ κήαντο, τίθεντο δὲ δόρπα Ϝέκαστος.

58ᵇ = *δ* 206   59ᵇ = *Α* 286   65—6 = *Θ* 502—3   67 = *Τ* 49   68 = *ϑ* 40   69 cf. *Ο* 95   77 cf. *Θ* 554   79 = *Η* 379   83ᵇ = *Ν* 478.

57—9 spurios dicit Nauck   57 μὲν requiro   58 ὁπλότερος CD et γρ. A   59 eiecit Bekker, orta esse videtur interpolatio ex duplici lectione ἀτὰρ πεπνυμένα βάζεις et ἐπεὶ κατὰ μοῖραν ἔειπες   62 γρ. ἀτιμῆσαι C   63—4 damnat Friedlaender anal. hom. p. 470.   64 ἐπιδημίου ὀκρυόεντος codd., cf. prol. § 80   66 φυλακτῆρας Ar.   67 παρὰ: γρ. περὶ A   73 ὑποδεξείη A — πολέεσσι δ' codd. πολέσιν γὰρ Ar.   76 ὅτι: γρ. ὅτε schol. A   78 διαραίσει Ar.   79 ἠδ' ἐπίθοντο codd.   86 ἅμα στεῖχον Ar.: ἅμ' ἔστειχον A ἅμ' ἔστιχον CD   88 κήαντο scripsi, ut scriptum exstat Φ 336 et Ω 38: κείαντο ACD — δόρπα Ar.: δόρπον ACD, δαῖτα θάλειαν Zen.

'Ατρεΐδης δὲ γέροντας ἀολλέας ἦγεν 'Αχαιῶν
ἐς κλισίην, παρὰ δέ σφι τίθει μενοϝεικέα δαῖτα.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐυφρονέων ἀγορήσατο καὶ μετέϝειπεν·
„'Ατρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν 'Αγάμεμνον,
ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν
λαῶν ἐσσὶ ϝάναξ καί τοι Ζεὺς ἐγγυάλιξεν
σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύῃσθα.
τῷ σε χρὴ περὶ μὲν φάσθαι ϝέπος ἠδ' ἐπακοῦσαι,
κρηῆναι δὲ καὶ ἄλλῳ, ὅτ' ἄν τινα θυμὸς ἀνώγῃ
ϝειπεῖν εἰς ἀγαθόν· σέο δ' ἕξεται ὅττί κεν ἄρχῃ.
αὐτὰρ ἐγὼ ϝερέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
οὐ γάρ τις νόον ἄλλον ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,
ἐξ ἔτι τοῦ, ὅτε, διογενές, Βρισηΐδα κούρην
χωόμενος 'Αχιλῆος ἔβης κλισίηθεν ἀπούρας
οὔ τι καθ' ἡμέτερόν γε νόον. μάλα γάρ τοι ἔγωγε
πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
ϝείξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας. ἀλλ' ἔτι καὶ νῦν
φραζώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθωμεν
δώροισίν τ' ἀγανοῖσι ϝέπεσσί τε μειλιχίοισιν."
τὸν δ' αὖτε προσέϝειπε ϝάναξ ἀνδρῶν 'Αγαμέμνων·
„ὦ γέρον, οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας.
ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι. ἀντί νυ πολλῶν
λαῶν ἐστὶν ἀνήρ, ὅν τε Ζεὺς κῆρι φιλήσῃ,
ὡς νῦν τοῦτον ἔτισε, δάμασσε δὲ λαὸν 'Αχαιῶν.
ἀλλ' ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας,

91—2 = *Ι* 221—2. *Ω* 627—8. *α* 149—50 92—5 = *Η* 323—6 96 = *Β* 434 99 = *Β* 206 100^{b} = *ρ* 584 103 = *Ι* 314. *Ν* 735 111 = *Α* 356 114 = *Ξ* 64. *Τ* 184 119—20 *Τ* = 137—8.

89 *ἀολλέας* codd.: *ἀριστέας* Ar. 94 post exordium libri adauctum additus videtur, unde v. 93 olim *τοῖσι δὲ Νέστωρ πρῶτος* dictum fuisse puto 100 *ἠδ' ἐπακοῦσαι* codd., quod illatum videtur ex Od. *ρ* 584, *ἠδὲ νοῆσαι* (*ἐπανύσσαι* Herwerden) conicio, quod nescio an legerit etiam Hesiodus op. 293 104 *ἄλλων* C et γρ. A 106 *διογενὲς* C et D man. sec.: *διογενεῦς* AD 109 *ἀπεμυθεόμην* codd. et Ar.: γρ. *ἐπεμυθεόμην* schol. A et Apoll. Soph. et Hesychius 112 γρ. *ἀρεσσόμενοι* A — *πεπίθωμεν* D et γρ. A et Ar.: *πεπίθοιμεν* AC 117 *φιλήσει* C 118 *ἔτισε δάμασσε* CD et γρ. A: *ἔτισεν ὄλεσσε* A — post 119 Dioscuridem Isocratis discipulum addidisse refert Athenaeus I p. 11 A (cf. Eust. 1198, 27) '*ἢ οἴνῳ μεθύων ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί*'.

ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.
ὑμῖν δ' ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω,
ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
αἴθωνας δὲ λέβητας ἐϝείκοσι, δώδεκα δ' ἵππους
πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
οὔ κεν ἀλήιος εἴη ἀνήρ, ᾧ τόσσα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
ὅσσα μοί ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι.
δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονα ϝέργα ϝιδυίας,
Λεσβίδας, ἅς, ὅτε Λέσβον ἐυκτιμένην ἕλεν αὐτός,
ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰς μέν ϝοι δώσω, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπεύρων,
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
ϝάστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
νῆα ϝάλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω
εἰσελθών, ὅτε κεν δατεώμεθα ληΐδ' 'Αχαιοί,
Τρωιάδας δὲ γυναῖκας ἐϝείκοσιν αὐτὸς ἑλέσθω,
αἵ κε μετ' 'Αργείην 'Ελένην κάλλισται ἔωσιν.
εἰ δέ κεν Ἄργος ἱκοίμεθ' 'Αχαιικόν, οὖθαρ ἀρούρης,
γαμβρός κέν μοι ἔοι· τίσω δέ μιν ἶσον 'Ορέστῃ,
ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ ἐυπήκτῳ,
Χρυσόθεμις καὶ Λαοδίκη καὶ ϝιφιϝάνασσα·
τάων ἥν κ' ἐθέλῃσι, φίλην ἀνάϝεδνον ἀγέσθω
πρὸς ϝοῖκον Πηλῆος· ἐγὼ δ' ἐπὶ μείλια δώσω
πολλὰ μάλ', ὅσσ' οὔ πώ τις ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ ϝοι δώσω εὖ ναιόμενα πτολίεθρα,

121^{b} = *Σ* 449 127^{b} = *Λ* 708 133—4 = *Τ* 176—7.

125—7 damnat Bergk Gr. Lit. 597 128 *ἀμύμονα* ACD: *ἀμύμονας* Ar. — *ἔργ' εἰδυίας* codd. 130 *ἐξ ἑλόμην* Zen. — *ἐνίκων πᾶσαν ἐπ' αἶαν* D 131 *ἀπηύρων* codd. *ἀπηύραν* hic et *Τ* 89. *Ψ* 560. 808. *ν* 132 coni. Leo Meyer, cf. *Λ* 430 132 *κούρη* C Ar.: *κούρην* AD — *ἐπὶ δὲ* Ar.: *καὶ ἐπὶ* ACD 137 *χαλκοῦ καὶ χρυσοῦ* C 140—156 damnavit Bergk Gr. Lit. 597, cf. adn. ad *Ι* 283 140 *ἔνιοι ὑποτάσσουσι* '*τὴν γὰρ ἀπ' αὖτις ἐγὼ δώσω ξανθῷ Μενελάῳ*' schol. A 141 *ἱκώμεθ'* Naber quaest. hom. p. 97 142 *ϝε ϝῖσον* Heyne, ego cacophoniam Homero coniectura inferre veritus sum 146 *ἀνάεδνον* codd., quod defendit Buttmann Lex. I 274: *ἀνέεδνον* Hermann op. VI 164 147 *ἐπιμείλια* Ar. 149—156 et 291—298 propter *ἅπαξ εἰρημένα* coacervata et insolitam vim vocabuli *θέμιστας* in suspicionem vocavit Duentzer Arist. p. 142; mihi illi

Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν
Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος·
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ Ϝε δωτίνῃσι θεὸν ὣς τιμήσουσιν
καί Ϝοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
ταῦτά κέ Ϝοι τελέςαιμι μεταλλήξαντι χόλοιο.
δμηθήτω — Ἀίδης τοι ἀμείλιχος ἠδ' ἀδάμαςτος·
τοὔνεκα καί τε βροτοῖςι θεῶν ἔχθιςτος ἁπάντων —
καί μοι ὑποςτήτω, ὅςςον βαςιλεύτερός εἰμι
ἠδ' ὅςςον γενεῇ προγενέςτερος εὔχομαι εἶναι."
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέςτωρ·
„Ἀτρεΐδη κύδιςτε, Ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μὲν οὐκέτ' ὀνοςτὰ διδοῖς Ἀχιλῆι Ϝάνακτι·
ἀλλ' ἄγετε κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιςτα
ἔλθως' ἐς κλιςίην Πηληιάδεω Ἀχιλῆος.
εἰ δ' ἄγε, τοὺς ἂν ἐγὼν ἐπιόψομαι, οἳ δὲ πιθέςθων.
Φοῖνιξ μὲν πρώτιστα διίφιλος ἡγησάσθω,
αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυςςεύς·
κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ' ἑπέςθων.
φέρτε δὲ χερςὶν ὕδωρ, εὐφημῆςαί τε κέλεςθε,
ὄφρα Διὶ Κρονίδῃ ἀρηςόμεθ', αἴ κ' ἐλεήςῃ."
ὣς φάτο, τοῖςι δὲ πᾶςι ϜεϜαδότα μῦθον ἔϜειπεν.
αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
κοῦροι δὲ κρητῆρας ἐπεςτέψαντο ποτοῖο,

153b = *Λ* 712. 162 = *Δ* 317 163 = *Ι* 96 172b = Ζ 275 173 = *σ* 422 174—7 = *φ* 270—3. *γ* 338—42 174—5 = *α* 146—8 175—6 = *Α* 470—1.

instar supplementi catalogi navium ex ipso vetere catalogo additi esse videntur; cf. ad *B* 590 153 *νέαται* ACD Ar.: *γρ.* *νάεται* A *κέαται* Apoll. Soph. 155 *τιμήσουσι* codd.: *τιμήσονται* Ar. 157 *μεταλλήξαντι* AC: *μεταλήξαντι* D Ar. 158 *δμηθήτω*: *καμφθήτω* Zen. et Aristoph. 159 *φησὶν Ἀρίσταρχος, ὅτι ἔνιοι ὑποτάσσουσι 'οὕνεκ' ἐπεί κε λάβῃσι πέλωρ ἔχει οὐδ' ἀνίησιν'* 160—1 seclusit Düntzer 164 *διδοῖς* codd. et Ar.: alii *δίδωσ'* legisse videntur 165 *κλειτοὺς* C m. pr. 167 *ἐγὼ* AD Ar. — *τοὶ δὲ* C 168. 180. 223. 427—429. 432—623. 658—668. 690—692 recentior aliquis Homerida, cum duobus legatis veteris carminis, Ulixi et Aiaci, Phoenicem tertium adiceret, ita interpolasse videtur, ut veteres versus, qui a carmine mutato et amplificato abhorrerent, partim abiceret partim novo carmini aptaret; sic versum 168 olim afuisse et 169 sic formatum esse suspicor: *ἀγγελίην μὲν ἴτων Αἴας καὶ δῖος Ὀδυσσεύς* vel *ἡγείσθην Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·* vide prol. p. 29 170 *ἑπέσθω* D et *γρ.* schol. A 171 *τε* A: *δὲ* CD.

νώμηςαν δ' ἄρα πᾶςιν ἐπαρξάμενοι δεπάεςςιν.
αὐτὰρ ἐπεὶ ςπεῖςάν τ' ἔπιόν θ' ὅςον ἤθελε θυμός,
ὡρμῶντ' ἐκ κλιςίης Ἀγαμέμνονος Ἀτρεΐδαο.
τοῖςι δὲ πόλλ' ἐπέτελλε Γερήνιος ἱππότα Νέςτωρ
δενδίλλων ἐς ἕκαστον, Ὀδυσσῆι δὲ μάλιστα,
πειρᾶν, ὡς πεπίθοιεν ἀμύμονα Πηλεΐωνα.
τὼ δὲ βάτην παρὰ θῖνα πολυφλοίςβοιο θαλάςςης,
πολλὰ μάλ' εὐχομένω γαιηόχῳ Ἐννοςιγαίῳ
ῥηιδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο.
Μυρμιδόνων δ' ἐπί τε κλιςίας καὶ νῆας ἱκέςθην,
τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ
καλῇ δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεον ζυγὸν ἦεν,
τὴν ἄρετ' ἐξ ἐνάρων, πόλιν Ἠετίωνος ὀλέςςας·
τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέϜε' ἀνδρῶν.
Πάτροκλος δέ Ϝοι οἶος ἐναντίος ἧςτο ςιωπῇ,
δέχμενος Αἰακίδην, ὁπότε λήξειεν ἀείδων.
τὼ δὲ βάτην προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυςςεύς,
ςτὰν δὲ πρόςθ' αὐτοῖο. ταφὼν δ' ἀνόρουςεν Ἀχιλλεύς
αὐτῇ ςὺν φόρμιγγι, λιπὼν ἕδος, ἔνθα θάαςςεν.
ὣς δ' αὔτως Πάτροκλος, ἐπεὶ Ϝίδε φῶτας, ἀνέςτη.
τὼ καὶ δεικνύμενος προςέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον — ἦ τι μάλα χρεώ —
οἵ μοι ςκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐςτον."
ὣς ἄρα φωνήςας προτέρω ἄγε δῖος Ἀχιλλεύς,
εἷςεν δ' ἐν κλιςμοῖςι τάπηςί τε πορφυρέοιςιν.
αἶψα δὲ Πάτροκλον προςεφώνεεν ἐγγὺς ἐόντα·
„μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱέ, καθίςτα,
ζωρότερον δὲ κέραιε, δέπας δ' ἔντυνε Ϝεκάςτῳ·
οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέαςι μελάθρῳ."
ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
αὐτὰρ ὅ γε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ,
ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄιος καὶ πίονος αἰγός,
ἐν δὲ ςυὸς ςιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.
τῷ δ' ἔχεν Αὐτομέδων, τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς.
καὶ τὰ μὲν εὖ μίςτυλλε καὶ ἀμφ' ὀβελοῖςιν ἔπειρεν,
πῦρ δὲ Μενοιτιάδης δαῖεν μέγα, Ϝιςόθεος φώς.

177 = *γ* 342 182 = *Α* 34 185 = *Α* 328 189 cf. *ϑ* 73 193b = *Λ* 777 194b = *Ο* 124 201 = *Λ* 346. 464. *P* 484 205 = *Λ* 345 211b = *Δ* 212.

185 *ἵκοντο* C et *γρ.* A 189 *κλέα* codd., cf. prol. p. 180 191 *γρ.* *δέχμενος* schol. A: *δέγμενος* codd. 196 *τὼ*: *γρ.* *τοὺς* A 197 *ἱκάνετον ἡμετερόνδε* variam fuisse lectionem rettulit Parmenisco — fort. *ἦ τε* 198 *φίλτατοι* CD Ar.: *φιλτάτω* A et *γρ.* schol. A 202 *καθίστη* Naber quaest. hom. 84 203 *κέραιρε* C — *ἔντυνε* Bentley: *ἔντυνον* codd.

αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη, 16
ἀνθρακιὴν cτορέcαc ὀβελοὺc ἐφύπερθε τάνυccεν,
πάccε δ' ἁλὸc θείοιο, κρατευτάων ἐπαείραc.
αὐτὰρ ἐπεί ῥ' ὤπτηcε καὶ εἰν ἐλεοῖcιν ἔχευεν,
Πάτροκλοc μὲν cῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
καλοῖc ἐν κανέοιcιν, ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύc.
αὐτὸc δ' ἀντίον ἷζεν Ὀδυccῆοc θείοιο
τοίχου τοῦ ἑτέροιο, θεοῖcι δὲ θῦcαι ἀνώγει
Πάτροκλον Ϝὸν ἑταῖρον· ὃ δ' ἐν πυρὶ βάλλε θυηλάc.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖραc ἴαλλον.
αὐτὰρ ἐπεὶ πόcιοc καὶ ἐδητύοc ἐξ ἔρον ἕντο,
νεῦc' Αἴαc Φοίνικι· νόηcε δὲ δῖοc Ὀδυccεύc.
πληcάμενοc δ' οἴνοιο δέπαc δείδεκτ' Ἀχιλῆα·
„χαῖρ', Ἀχιλεῦ. δαιτὸc μὲν ἐϜίcηc οὐκ ἐπιδευεῖc
ἠμὲν ἐνὶ κλιcίῃ Ἀγαμέμνονοc Ἀτρεΐδαο
ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα γὰρ μενοϜεικέα πολλά
δαίνυcθ'· ἀλλ' οὐ δαιτὸc ἐπήρατα Ϝέργα μέμηλεν,
ἀλλὰ λίην μέγα πῆμα, διοτρεφέc, εἰcορόωντεc
δείδιμεν· ἐν δοιῇ δὲ cόαc ἔμεν ἢ ἀπολέcθαι
νῆαc ἐϋccέλμουc, εἰ μὴ cύ γε δύcεαι ἀλκήν.
ἐγγὺc γὰρ νηῶν καὶ τείχεοc αὖλιν ἔθεντο
Τρῶεc ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
κηάμενοι πυρὰ πολλὰ κατὰ cτρατόν, οὐδ' ἔτι φαcίν
cχήcεcθ' ἀλλ' ἐν νηυcὶ μελαίνῃcιν πεcέεcθαι.
Ζεὺc δέ cφι Κρονίδηc ἐνδέξια cήματα φαίνων
ἀcτράπτει. Ἕκτωρ δὲ μέγα cθένεϊ βλεμεαίνων
μαίνεται ἐκπάγλωc πίcυνοc Διί, οὐδέ τι τίει
ἀνέραc οὐδὲ θεούc· κρατερὴ δέ Ϝε λύccα δέδυκεν.

216—7 = Ω 625—6 218 = ε 198 219^a = Ω 598. ψ 90 221—2 = 91—2 230^b = *Α* 117 233 = Ζ 111 235 = *Λ* 824. *Μ* 107. 126. *Ρ* 639 237^b = *Θ* 337.

212 *γρ. ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο παύσατο δὲ φλόξ* schol. A, *γρ. ἐπεὶ κατὰ πῦρ ἐμαρήνατο παύσατο δὲ φλόξ* schol. V 214 *ἀπαείρας* Ar. 215 *ἔχευεν: γρ. ἔθηκεν* A 221 om. D 222 *ἐδητύος ἂψ ἐπάσαντο* coni. Ar. 223 *Φοίνικι* codd.: aut *Ὀδυσῆι, νόησε δὲ κεῖνος ἄναυδον* aut *βλεφαροῖσι, νόησε δὲ δῖος Ὀδυσσεύς* vel tale quid reponendum fuit 224 *δὲ δέπας οἴνου* Heyne 225 *ἐπιδευεῖς* CD et *γρ.* A: *ἐπιδευῆς* A, *Ἀρίσταρχος δὲ χωρὶς τοῦ σ* Didymus 226 *γρ. ἦμεν* schol. A 228 *ἐπήρατα* Bentley: *ἐπηράτου* codd. 230 *σόας ἔμεν* Bekker: *σαωσέμεν* codd., quod ex *σάωσ ἔμεν* ortum esse videtur 231 *ἀπηύρα* codd. 233 *τηλεκλητός* C 234—5 cum ex versibus *Μ* 106—7 falso intellectis orti sint, aut damnandi sunt aut alienam originem produnt; cf. prol. p. 87 234 *κειάμενοι* ACD, cf. *Ι* 88 235 fuit cum tentarem *σχήσεσθ' Ἀργείους, ἀλλ' ἐν νηυσὶν πεσέεσθαι.*

ἀρᾶται δὲ τάχιcτα φανήμεναι ἠόα δῖαν· 16
cτεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα
αὐτάc τ' ἐμπρήcειν μαλεροῦ πυρόc, αὐτὰρ Ἀχαιούc
δῃώcειν παρὰ τῇcιν ὀρινομένουc ὑπὸ καπνοῦ.
ταῦτ' αἰνῶc δείδοικα κατὰ φρένα, μή Ϝοι ἀπειλάc
ἐκτελέcωcι θεοί, ἡμῖν δὲ δὴ αἴcιμον εἴῃ
φθίcθαι ἐνὶ Τροίῃ, Ϝεκὰc Ἄργεοc ἱπποβότοιο.
ἀλλ' ἄνα, εἰ μέμονάc γε καὶ ὀψέ περ υἷαc Ἀχαιῶν
τειρομένουc ἐρύεcθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.
αὐτῷ τοι μετόπιcθ' ἄχοc ἔccεται, οὐδέ τι μῆχοc
ῥεχθέντοc κακοῦ ἔcτ' ἄκοc εὑρεῖν. ἀλλὰ πολὺ πρίν
φράζευ ὅπωc Δαναοῖcιν ἀλεξήcειc κακὸν ἦμαρ.
ὦ πέπον, ἦ μὲν cοί γε πατὴρ ἐπετέλλετο Πηλεύc
ἤματι τῷ, ὅτε c' ἐκ Φθίηc Ἀγαμέμνονι πέμπεν·
‚τέκνον ἐμόν, κάρτοc μὲν Ἀθηναίη τε καὶ Ἥρη
δώcουc', αἴ κ' ἐθέλωcι, cὺ δὲ μεγαλήτορα θυμόν
ἴcχειν ἐν cτήθεccι· φιλοφροcύνη γὰρ ἀμείνων·
ληγέμεναι δ' ἔριδοc κακομηχάνου, ὄφρα cε μᾶλλον
τίωc' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντεc.'
ὣc ἐπέτελλ' ὁ γέρων, cὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν
παύε', ἔα δὲ χόλον θυμαλγέα. cοὶ δ' Ἀγαμέμνων
ἄξια δῶρα δίδωcι μεταλλήξαντι χόλοιο.
εἰ δέ, cὺ μέν μευ ἄκουcον, ἐγὼ δέ κέ τοι καταλέξω,
ὅccα τοι ἐν κλιcίῃcιν ὑπέcχετο δῶρ' Ἀγαμέμνων·
ἕπτ' ἀπύρουc τρίποδαc, δέκα δὲ χρυcοῖο τάλαντα,
αἴθωναc δὲ λέβηταc ἐϜείκοcι, δώδεκα δ' ἵππουc
πηγοὺc ἀθλοφόρουc, οἳ ἀέθλια ποccὶν ἄροντο.
οὔ κεν ἀλήιοc εἴη ἀνήρ, ᾧ τόccα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυcοῖο,
ὅcc' Ἀγαμέμνονοc ἵπποι ἀέθλια ποccὶν ἄροντο.
δώcει δ' ἑπτὰ γυναῖκαc ἀμύμονα Ϝέργα Ϝιδυίαc,
Λεcβίδαc, ἅc, ὅτε Λέcβον ἐϋκτιμένην ἕλεc αὐτόc,
ἐξέλεθ', αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰc μέν τοι δώcει, μετὰ δ' ἔccεται ἣν τότ' ἀπεύρα,
κούρη Βριcῆοc· ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται

241 cf. *Θ* 180—2 243 cf. *Θ* 183 246^b = Ζ 152 249 = χ 345 252—3 = *Λ* 765—6 254 cf. *Λ* 786 254^b = *Δ* 20 259 = *Λ* 790 264—99 = 122—57 274—299 = 232—257.

240 *ἠῶ* codd. 241 *ἀποκοψέμεν* malo 242 *ἐμπλήσειν* Ar. 243 *ἀτυζομένους ἢ ὀρινομένους* Eust., cf. *Θ* 183 245 fort. *ἐκτελέσουσι* — *εἴῃ* Hermann op. II 32: *εἴη* codd. 249 *τοι* ACD: *σοι* Spitzner 251 *ἀλεξήσῃς* A 257—8 eiecit Bekker 261 *μεταλήξαντι* D, cf. *Ι* 157 270 *ἀμύμονα* C m. pr.: *ἀμύμονας* AD — *ἔργ' εἰδυίας* ACD 274 *κούρῃ* A Ar.: *κούρην* CD — *ἐπὶ δὲ* Ar.: *καὶ ἐπὶ* ACD.

μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι, **16**
ἣ θέμις ἐςτί, Fάναξ, ἤ τ' ἀνδρῶν ἤ τε γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέςςεται· εἰ δέ κεν αὖτε
Fάςτυ μέγα Πριάμοιο θεοὶ δώως' ἀλαπάξαι,
νῆα Fάλις χρυςοῦ καὶ χαλκοῦ νηήςαςθαι
εἰςελθών, ὅτε κεν δατεώμεθα ληίδ' Ἀχαιοί,
Τρωιάδας δὲ γυναῖκας ἐFείκοςιν αὐτὸς ἑλέςθαι,
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλιςται ἔωςιν.
εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιικόν, οὖθαρ ἀρούρης,
γαμβρός κέν Fοι ἔοις· τίςει δέ ςε Fῖςον Ὀρέςτῃ,
ὅς Fοι τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ Fοί εἰςι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυςόθεμις καὶ Λαοδίκη καὶ FιφιFάναςςα·
τάων ἥν κ' ἐθέληςθα, φίλην ἀνάFεδνον ἄγεςθαι
πρὸς Fοῖκον Πηλῆος· ὁ δ' αὖτ' ἐπὶ μείλια δώςει
πολλὰ μάλ', ὅςς' οὔ πώ τις ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ τοι δώσει εὖ ναιόμενα πτολίεϑρα,
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν
Φηράς τε ζαϑέας ἠδ' Ἄνϑειαν βαϑύλειμον
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαϑόεντος·
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ σε δωτίνῃσι ϑεὸν ὣς τιμήσουσιν
καί τοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι ϑέμιστας.
ταῦτά κέ τοι τελέςειε μεταλλήξαντι χόλοιο.
εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον,
αὐτὸς καὶ τοῦ δῶρα, ςὺ δ' ἄλλους περ Παναχαιούς
τειρομένους ἐλέαιρε κατὰ ςτρατόν, οἵ ςε θεὸν ὥς
τίςους'· ἦ γάρ κέ ςφι μάλα μέγα κῦδος ἄροιο.
νῦν γάρ χ' Ἕκτορ' ἕλοις, ἐπεὶ ἂν μάλα τοι ςχεδὸν ἔλθοι
λύςςαν ἔχων ὀλοήν, ἐπεὶ οὔ τινά φηςιν ὁμοῖον
Fοῖ ἔμεναι Δαναῶν, οὓς ἐνθάδε νῆες ἔνειKαν."
τὸν δ' ἀπαμειβόμενος προςέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυςςεῦ,
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποFειπεῖν,
ᾗ περ δὴ φρονέω τε καὶ ὡς τετελεςμένον ἔςται,

295^{b} = 153 307 = *Α* 84 308 = *Β* 173.

279 *νηήσασϑαι* codd. et Ar., alii *νηησάσϑω* legisse videntur 281 *ἑλέσϑω* Lips. 283—298 et 388—405 a recentiore aliquo poeta additos putat Bergk Gr. Lit. 597 283 *ἱκώμεϑ'* Naber, cf. *Ι* 141 297 *τιμήσουσι* CD: *τιμήσωσι* A *τιμήσονται* Ar. 299 *μεταλήξαντι* D Ar. 304 *ἔλϑοι* AD: *ἔλϑῃ* C, cf. *Τ* 208 310 *φρονέω* Lips. Ar.: *κρανέω* ACD.

ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος. **16**
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀίδαο πύληςιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεςίν, ἄλλο δὲ Fείπῃ.
αὐτὰρ ἐγὼ Fερέω ὥς μοι δοκεῖ εἶναι ἄριςτα.
οὔτ' ἔμεγ' Ἀτρεΐδην Ἀγαμέμνονα πειςέμεν οἴω
οὔτ' ἄλλους Δαναούς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρναςθαι δεΐοιςιν ἐπ' ἀνδράςι νωλεμὲς αἰεί.
[Fίςη μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐςθλός.
κάτθαν' ὁμῶς ὅ τ' ἀFεργὸς ἀνὴρ ὅ τε πολλὰ FεFοργώς.]
οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῷ,
αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
ὡς δ' ὄρνις ἀπτῆςι νεοςςοῖςι προφέρῃςιν
μάςτακ', ἐπεί κε λάβῃςι, κακῶς δέ τέ Fοι πέλει αὐτῇ,
ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀύπνους νύκτας ἴαυον,
ἤματα δ' αἱματόεντα διέπρηςςον πολεμίζων
ἀνδράςι μαρναμένοις ὀάρων ἕνεκα ςφετεράων.
δώδεκα δὴ ςὺν νηυςὶ πόλις ἀλάπαξ' ἀνθρώπων,
πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
τάων ἐκ παςέων κειμήλια πολλὰ καὶ ἐςθλά
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόςκον
Ἀτρεΐδῃ· ὁ δ' ὄπιςθε μένων παρὰ νηυςὶ θοῇςιν
δεξάμενος διὰ παῦρα δαςάςκετο, πολλὰ δ' ἔχεςκεν.
ἅςςα δ' ἀριςτήεςςι δίδου γέρα καὶ βαςιλεῦςιν,
τοῖςι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα· τῇ παριαύων
τερπέςθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεςςιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ἀτρεΐδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠυκόμοιο;
ἦ μοῦνοι φιλέους' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεΐδαι; ἐπεὶ ὅς τις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων,
τὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡς καὶ ἐγὼ τήν
ἐκ θυμοῦ φίλεον δουρικτητήν περ ἐοῦςαν.

312 = ξ 156 314 = 103 317 = *Ρ* 148. *Λ* 190 321^{b} = *Ν* 670 330^{b} = *Ω* 381 332^{b} = *Λ* 111.

311 *παρήμενοι* CD et γρ. A: *παρήμενος* A 314 *ὡς καὶ τετελεσμένον ἔσται* C et γρ. A 317 *ἐπ'* C Ar.: *μετ'* AD 318—20 eiecit Bekker, 320 del. Heyne et Friedlaender an. hom. p. 469 322 *αἰεὶ* codd.; cf. *Λ* 520 — *πολεμίζειν* codd. et Ar., alii *πολεμίζων* vel *πολεμίζω* legisse videntur 324 *δέ τε* codd.: *δ' ἄρα* Ar. 327 *μαρναμένοις* Aldina: *μαρνάμενος* codd. — γρ. *ἀόρων* schol. A 328 *πόλις* Bekker: *πόλεις* ACD; cf. *Β* 648 et prol. § 80 334 *ἅσσα* Bekker: *ἄλλα* codd. 336 γρ. *εἷλετ' ἔχειν* schol. BV 342 *αὐτοῦ* Apollonius: *αὑτοῦ* Ptolemaeus Ascal.; cf. Lehrs quaest. ep. 115 343 *δορυκτήτην* C.

νῦν δ᾽ ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο καί μ᾽ ἀπάτηcεν, 16
μή μευ πειράτω ἐὺ Fειδότοc· οὐδέ με πείcει.
ἀλλ᾽ Ὀδυcεῦ cὺν coί τε καὶ ἄλλοιcιν βαcιλεῦcιν
φραζέcθω νήεccιν ἀλεξέμεναι δήιον πῦρ.
ἦ μὲν δὴ μάλα πολλὰ πονήcατο νόcφιν ἐμεῖο,
καὶ δὴ τεῖχοc ἔδειμε, καὶ ἤλαcε τάφρον ἐπ᾽ αὐτῷ
εὐρεῖαν μεγάλην, ἐν δὲ cκόλοπαc κατέπηξεν·
ἀλλ᾽ οὐδ᾽ ὧc δύναται cθένοc Ἕκτοροc ἀνδροφόνοιο
ἴcχειν. ὄφρα δ᾽ ἐγὼ μετ᾽ Ἀχαιοῖcιν πολέμιζον,
οὐκ ἐθέλεcκε μάχην ἀπὸ τείχεοc ὀρνύμεν Ἕκτωρ,
ἀλλ᾽ ὅcον ἐc Cκαιάc τε πύλαc καὶ φηγὸν ἵκανεν·
ἔνθα ποτ᾽ οἶον ἔμιμνε, μόγιc δέ μευ ἔκφυγεν ὁρμήν.
νῦν δ᾽, ἐπεὶ οὐκ ἐθέλω πολεμιζέμεν Ἕκτορι δίῳ,
αὔριον ἱρὰ Διὶ ῥέξαc καὶ πᾶcι θεοῖcιν,
νηήcαc ἐὺ νῆαc, ἐπὴν ἅλαδε προFερύccω,
ὄψεαι, ἢν ἐθέληcθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
ἦρι μάλ᾽ Ἑλλήcποντον ἐπ᾽ ἰχθυόεντα πλεFούcαc
νῆαc ἐμάc, ἐν δ᾽ ἄνδραc ἐρεccέμεναι μεμαῶταc·
εἰ δέ κεν εὐπλοίην δώῃ κλυτὸc Ἐννοcίγαιοc,
ἤματί κε τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
ἔcτι δέ μοι μάλα πολλά, τὰ κάλλιπον ἐνθάδε Fέρρων·
ἄλλον δ᾽ ἐνθένδε χρυcὸν καὶ χαλκὸν ἐρυθρόν
ἠδὲ γυναῖκαc ἐυζώνουc πολιόν τε cίδηρον
ἄξομαι, ἅcc᾽ ἔλαχόν γε· γέραc δέ μοι, ὅc περ ἔδωκεν,
αὖτιc ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρεΐδηc. τῷ πάντ᾽ ἀγορευέμεν, ὡc ἐπιτέλλω,
ἀμφαδόν, ὄφρα καὶ ἄλλοι ἐπιcκύζωνται Ἀχαιοί,
εἴ τινά που Δαναῶν ἔτι Fέλπεται ἐξαπατήcειν
αἰὲν ἀναιδείην ἐπιFειμένοc. οὐδ᾽ ἂν ἔμοιγε
τετλαίη κύνεόc περ ἐὼν εἰc ὦπα Fιδέcθαι·
οὐδέ τί Fοι βουλὰc cυμφράccομαι, οὐδὲ μὲν ἔργον·
ἐκ γὰρ δή μ᾽ ἀπάτηcε καὶ ἤλιτεν. οὐδ᾽ ἂν ἔτ᾽ αὖτιc
ἐξαπάφοιτο Fέπεccι· Fάλιc δέ Fοι. ἀλλὰ Fέκηλοc
Fερρέτω· ἐκ γάρ Fευ φρέναc εἵλετο μητίετα Ζεύc.

350 = *Η* 441 354 = *Ζ* 237 359 = *Δ* 353 360 = *ε* 34 366 = *Ψ* 261 369ᵇ = *Β* 10 376ᵇ = *ψ* 216.

346—355 damnat Duentzer Hom. Abh. p. 60, vide adnot. ad *Η* 313 349 *ἤλασεν ἔκτοθι τάφρον* Ar. 350 *ἐν: περὶ* Ar. 351 *Ἕκτορος ἱπποδάμοιο* D 356 *πολεμίζειν* C et *γρ.* A 362 *δῴη* D: *δώῃ* AC 363 *Φθίηνδ᾽* D 365 *χαλκὸν καὶ χρυσὸν* C 367 *γρ. ἅσσα λέλογχα* A *ὥσπερ* C et D m. pr. 368 *γρ. ἐνυβρίζων* schol. A 374 *οὐδέ τι* CD: *οὐδ᾽ ἔτι* A — *οὐδέ τι Ϝέργον* Bekker 376 *ἐξαπάφοιτ᾽ ἐπέεσσιν* codd. *ἐξαπάφοι Ϝεπέεσσι* Bentley, cf. *ψ* 216 377 *γάρ οἱ* D.

ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸc αἴcῃ. 16
οὐδ᾽ εἴ μοι δεκάκιc καὶ ἐFεικοcάκιc τόcα δοίη,
ὅσσα τέ Ϝοι νῦν ἔστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
ἠδ᾽ ὅσ᾽ ἐς Ἐρχομενὸν ποτινίσσεται, ἠδ᾽ ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἓν κτήματα κεῖται,
αἵ θ᾽ ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ᾽ ἀν᾽ ἑκάστας
ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφιν·
οὐδ᾽ εἴ μοι τόcα δοίη, ὅcα ψάμαθόc τε κόνιc τε,
οὐδέ κεν ὧc ἔτι θυμὸν ἐμὸν πείcει᾽ Ἀγαμέμνων,
πρίν γ᾽ ἀπὸ πᾶcαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
κούρην δ᾽ οὐ γαμέω Ἀγαμέμνονοc Ἀτρεΐδαο,
οὐδ᾽ εἰ χρυcείῃ Ἀφροδίτῃ κάλλοc ἐρίζοι,
Fέργα δ᾽ Ἀθηναίῃ γλαυκώπιδι Fιcοφαρίζοι·
οὐδέ μιν ὧc γαμέω· ὃ δ᾽ Ἀχαιῶν ἄλλον ἑλέcθω,
ὅc τίc Fοῖ τε FέFοικε καὶ ὃc βαcιλεύτερόc ἐcτιν.
ἢν γὰρ δή με caῶcι θεοὶ καὶ Fοίκαδ᾽ ἵκωμαι,
Πηλεύc θήν μοι ἔπειτα γυναῖκά γε μάccεται αὐτόc.
πολλαὶ Ἀχαιίδεc εἰcὶν ἀν᾽ Ἑλλάδα τε Φθίην τε,
κοῦραι ἀριcτήων, οἵ τε πτολίεθρα ῥύονται·
τάων ἥν κ᾽ ἐθέλωμι, φίλην ποιήcομ᾽ ἄκοιτιν.
ἔνθα δέ μοι μάλα πολλὸν ἐπέccυτο θυμὸc ἀγήνωρ
γήμαντι μνηcτὴν ἄλοχον, FεFικυῖαν ἄκοιτιν,
κτήμαcι τέρπεcθαι, τὰ γέρων ἐκτήcατο Πηλεύc.
οὐ γὰρ ἐμοὶ ψυχῆc ἀντάξιον οὐδ᾽ ὅcα φαcίν
Ἴλιον ἐκτῆcθαι, ἐὺ ναιόμενον πτολίεθρον,
τὸ πρὶν ἐπ᾽ εἰρήνηc, πρὶν ἐλθεῖν υἷαc Ἀχαιῶν,
οὐδ᾽ ὅcα λάινοc οὐδὸc ἀφήτοροc ἐντὸc ἐFέργει

379—387 cf. *χ* 61—4 382 = *δ* 127 395ᵇ = *λ* 496 402 = *Β* 133 403 = *Χ* 156 404 cf. *ϑ* 80 et hymn. Ap. Pyth. 118.

378 *γρ. ἔγκαρος* schol. A, fort. *ἔγκατος* = hili — *τε καὶ εἰκοσάκις* codd. 380—4 iuxta 401—405 vix ferri posse videntur 381 *γρ. οὐδ᾽ ὅσ᾽ . . . οὐδ᾽ ὅσα* schol. A et Strabo IX p. 414 — *Ἐρχομενὸν* schol. A: *Ὀρχομενὸν* codd. 382 *Αἰγυπίας* hic et Od. *δ* 127, *Αἰγύπτιος* Od. *δ* 385 ita Homeridae pronuntiasse videntur, ut analogiam duplicium formarum *πόλεμος* et *πτόλεμος*, *πόλις* et *πτόλις* huc quoque traherent — *ὅθι: γρ. ᾗ* A — *ἐνι* C 383—4 interpolatoris rhapsodi esse intellexit Heyne — *γρ. ἑκάστην* schol. A, *δὲ ἑκάστας* Nauck 386—7 non legisse videtur Aristoteles rhet. III 11 387 damnavit Helbig Rh. Mus. XVI 308 392 *τ᾽ ἐπέοικε* codd., cf. prol. p. 162 393 *σάωσι* Apio, *σόωσι* codd. et Herodianus, *σοῶσι* Tyrannio, cf. *Ι* 230. 424. *Π* 363. *Φ* 238 394 *γε μάσσεται* Ar.: *γαμέσσεται* codd. 397 *ἐθέλωμι* Ar.: *ἐθέλοιμι* ACD 399 *γρ. γήμαντα* schol. A, quod defendit Naber quaest. hom. 87 401 *γρ. ἐμῆς* schol. A 403 *πρίν γ᾽ ἐλθεῖν* coni. Nauck; at cf. *Ζ* 81 404 *λάινος οὐδὸς* nisi firmatum esset hymn. Ap. Pyth. 118, *λάινον ἕρκος* conicerem.

Φοίβου Ἀπόλλωνος Πυθοῖ ἔνι πετρηέσσῃ.
ληιστοὶ μὲν γάρ τε βόες καὶ Fίφια μῆλα,
κτητοὶ δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστή
οὔθ᾽ ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
μήτηρ γάρ τέ μέ φησι θεά, Θέτις ἀργυρόπεζα,
διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε.
εἰ μέν κ᾽ αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέFος ἄφθιτον ἔσται·
εἰ δέ κε Fοίκαδ᾽ ἵκωμαι ἑὴν ἐς πατρίδα γαῖαν,
ὤλετό μοι κλέFος ἐσθλόν, ἐπὶ δFηρὸν δέ μοι αἰών.
[ἔσσεται, οὐδέ κέ μ᾽ ὦκα τέλος θανάτοιο κιχείη].
καὶ δ᾽ ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην
Fοίκαδ᾽ ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ Fεθεν εὐρύοπα Ζεύς
χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ἀλλ᾽ ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν
ἀγγελίην ἀπόφασθε — τὸ γὰρ γέρας ἐστὶ γερόντων —
ὄφρ᾽ ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
ἥ κέ σφιν νῆάς τε σαῷ καὶ λαὸν Ἀχαιῶν
νηυσὶν ἔπι γλαφυρῇς, ἐπεὶ οὔ σφισιν ἥδε γ᾽ ἑτοίμη,
ἣν νῦν ἐφράσσαντο ἐμεῦ ἀπομηνίσαντος.
Φοῖνιξ δ᾽ αὖθι παρ᾽ ἄμμι μένων κατακοιμηθήτω,
ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ᾽ ἕπηται
αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ᾽ οὔ τί μιν ἄξω."
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀπέFειπεν.
ὀψὲ δὲ δὴ μετέFειπε γέρων ἱππηλάτα Φοῖνιξ
δάκρυ᾽ ἀναπρήσας· περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν·
„εἰ μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ᾽ Ἀχιλλεῦ,
βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσιν
πῦρ ἐθέλεις ἀFίδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ,
πῶς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην
οἶος; σοὶ δέ μ᾽ ἔπεμπε γέρων ἱππηλάτα Πηλεύς

410^b = Α 538 411^b = Ν 602 414^b = Β 140 416^b = ρ 476 417^b = Ο 45   417—20 = 684—7 419^a = Ν 773 420^a = Ω 374 422^b = Δ 323   430—2 = Θ 28—30 433^b = Λ 557 436^b = Ξ 207 438^b = Η 125.

405 Φοίβου: νηοῦ Zen.   414 ἵκωμαι ἑὴν Brugman, Problem p. 71: ἵκωμι φίλην A   ἵκωμαι φίλην CD   ἵκωμαι ἐμὴν Bentley   416 damnavit Ar., ne scripsit quidem Zen.   418 fort. ἀποπλεFέμεν   420 χεῖρα θ᾽ ἑὴν . . . τεθαρσήκασί τε Bentley, cf. prol. p. 156   424 σόω A   σόῃ CD, cf. Ι 681   427—9 vide supra ad v. 168   438 δάκρυ᾽ AC: δάκρυ D m. pr.   438 σὺν δέ μ᾽ ἔπεμπε coni. Jacobs.

ἤματι τῷ, ὅτε σ᾽ ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν
νήπιον, οὔ πω Fειδότ᾽ ὁμοιίοο πτολέμοιο
οὐδ᾽ ἀγορέων, ἵνα τ᾽ ἄνδρες ἀριπρεπέες τελέθουσιν.
τοὔνεκά με προέηκε, διδασκέμεναι τάδε πάντα,
μύθων τε Fρητῆρ᾽ ἔμεναι πρηκτῆρά τε Fέργων.
ὣς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο, φίλον τέκος, οὐκ ἐθέλοιμι
λείπεσθ᾽, οὐδ᾽ εἴ κέν μοι ὑποσταίη θεὸς αὐτός,
γῆρας ἀποξύσας θήσειν νέον ἡβώοντα,
οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα,
φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο,
ὅς μοι παλλακίδος πέρι χώσατο καλλικόμοιο,
τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ᾽ ἄκοιτιν,
μητέρ᾽ ἐμήν. ἣ δ᾽ αἰὲν ἐμὲ λισσέσκετο γούνων
παλλακίδι προμιγῆναι, ἵν᾽ ἐχθήρειε γέροντα.
τῇ πιθόμην καὶ ἔρεξα· πατὴρ δ᾽ ἐμὸς αὐτίκ᾽ ὀισθείς
πολλὰ κατηρᾶτο, στυγερὰς δ᾽ ἐπεκέκλετ᾽ ἐρινῦς,
μή ποτε γούνασι Fοῖσιν ἐφέσσεσθαι φίλον υἱόν
ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ᾽ ἐτέλειον ἐπαράς,
Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια.
[τὸν μὲν ἐγὼ βούλευσα κατακτάμεν ὀξέι χαλκῷ·
ἀλλά τις ἀθανάτων παῦσεν χόλον, ὅς ῥ᾽ ἐνὶ θυμῷ
δήμου θῆκε φάτιν καὶ ὀνείδεα πόλλ᾽ ἀνθρώπων,
ὡς μὴ πατροφόνος μετ᾽ Ἀχαιοῖσιν καλεοίμην.]
ἔνθ᾽ ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ᾽ ἐν φρεσὶ θυμός
πατρὸς χωομένοιο κατὰ μέγαρα στροφάασθαι.
ἦ μὲν πολλὰ Fέται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες
αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισιν,
πολλὰ δὲ Fίφια μῆλα καὶ εἰλίποδας Fέλικας βοῦς

439 = 253   440 cf. δ 818 440^b = Ν 358. 635. Ο 670. Σ 242. Φ 294. σ 264. ω 543 448^b = Κ 266 458^a = ι 299. 462^b = Ν 280   466 = Ψ 166   466—9 cf. ι 44—5.

440 ὁμοιίου πολ. ACD, ὁμοιίοο πτολ. Ahrens Rh. Mus. II 162, cf. prol. § 80   447 τοῖον Zen. — λίπον Ὀρμένιον πολύμηλον Demetrius Scepsius   449 περιχώσατο CD Alexio   451 γρ. λισσάσκετο A   452 τινὲς γέροντι γράφουσιν schol. Lips.   453 τῇ οὐ πιθόμην οὐδ᾽ ἔρξα Aristodemus Nysaeensis   454 ἐριννῦς C   455 οἷσιν: γρ. ἐμοῖσιν schol. A, quam eandem vim pronomen Fοῖσιν obtinere monui Rh. Mus. XXXVI 36 — ἐφέζεσθαι C   ἐφέσασθαι D   457 ἐπαινή: γρ. ἐπ᾽ αὐτῷ schol. V   458—61 om. codd., servavit Plutarchus de aud. poet. c. 8 et de adul. et amic. c. 33, qui priore loco eos ab Aristarcho eiectos esse refert   463 ἔνθά μοι C et γρ. A   463 γρ. στροφάασθαι Eust.: στρωφᾶσθαι codd., quod ob numerorum scabritiem repudiavi, licet forma στρωφᾶτ᾽ Ν 557 metro stabilita sit   464—9 alterius esse recensionis statuit Friedlaender in Phil. IV 383   464 ἀμφὶς ἐόντες: γρ. ἐγγὺς ἐόντες A.

ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ 16
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο,
πολλὸν δ' ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος.
εἰνάνυχες δέ μοι ἀμφ' αὐτῷ παρὰ νύκτας ἴαυον·
οἳ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον, οὐδέ ποτ' ἔσβη
πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς,
ἄλλο δ' ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων.
ἀλλ' ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή,
καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
Ϝρήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς,
ῥεῖα λαθὼν φύλακάς τ' ἄνδρας δμῳάς τε γυναῖκας.
φεῦγον ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδος εὐρυχόροιο,
Φθίην δ' ἐξικόμην ἐριβώλακα, μητέρα μήλων,
ἐς Πηλῆα Ϝάναχθ'. ὃ δέ με πρόφρων ὑπέδεκτο,
καί με φίλησ' ὡς εἴ τε πατὴρ Ϝὸν παῖδα φιλήσῃ
μοῦνον τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσιν,
καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν·
ναῖον δ' ἐσχατιὴν Φθίης, Δολόπεσσι Ϝανάσσων.
καί σε τοσοῦτον ἔθηκα, θεοῖς ἐπιϜείκελ' Ἀχιλλεῦ,
ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ
οὔτ' ἐς δαῖτ' ἰέναι οὔτ' ἐν μεγάροισι πάσασθαι,
πρίν γ' ὅτι δή σ' ἐπ' ἐμοῖσιν ἐγὼ γούνεσσι καθίσσας
ὄψου τ' ἄσαιμι προταμὼν καὶ Ϝοῖνον ἐπισχών.
πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα
Ϝοίνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.
ὣς ἐπὶ σοὶ μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα,
τὰ φρονέων, ὅ μοι οὔ τι θεοὶ γόνον ἐξετέλειον
ἐξ ἐμεῦ· ἀλλὰ σὲ παῖδα, θεοῖς ἐπιϜείκελ' Ἀχιλλεῦ,
ποιεόμην, ἵνα μοί ποτ' ἀϜεικέα λοιγὸν ἀμύνῃς.
ἀλλ' Ἀχιλεῦ δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρή
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.
καὶ μὲν τοὺς θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσιν
λοιβῇ τε κνίσῃ τε παρατρωπῶσ' ἄνθρωποι

467—8 = Ψ 32—3 469^b = Ω 164 479^b = Λ 222 480^b = υ 372 481—2 cf. π 17—9 485^b = Ι 494. Χ 279 492 = Ψ 607 494^b = 485 495^b = Λ 341 496^b = Ι 613. Π 721.

470 ἐννάνυχες Nauck 472 ὑπ': ἐν Ar. — αἰθούσσῃ A 474 om. D 481 παῖδα φιλήσει CD 486 ἐθέλεσκον Nauck 488 γούνασσι C et γρ. schol. A, γούνασι altera litera ς supra lineam addita D 489 τ' om. ACD 492 πολλὰ πάθον et πολλὰ μόγησα Ar.: πόλλ' ἔπαθον et πόλλ' ἐμόγησα ACD 495 ποιεύμην codd. 500 γρ. λοίβης τε κνίσης τε A — fort. παρατροπόωσ'.

λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ. 16
καὶ γάρ τε Λιταί εἰσι, Διὸς κοῦραι μεγάλοιο,
χωλαί τε Ϝρυσαί τε παραβλῶπές τ' ὀφθαλμώ,
αἵ ῥά τε καὶ μετόπισθ' Ἄτης ἀλέγουσι κιοῦσαι.
ἣ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας
πολλὸν ὑπεκπροθέϜει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν
βλάπτουσ' ἀνθρώπους· αἳ δ' ἐξακέονται ὀπίσσω.
ὃς μέν τ' αἰδέσεται κούρας Διὸς ἆσσον ἰούσας,
τὸν δὲ μέγ' ὤνησαν καί τε κλύον εὐχομένοιο·
ὃς δέ κ' ἀνήνηται καί τε στερεῶς ἀποϜείπῃ,
λίσσονται δ' ἄρα ταί γε Δία Κρονίωνα κιοῦσαι,
τῷ ἄτην ἅμ' ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ.
ἀλλ' Ἀχιλεῦ πόρε καὶ σὺ Διὸς κούρῃσιν ἕπεσθαι
τιμήν, ἥ τ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν.
εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι
Ἀτρεΐδης, ἀλλ' αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι,
οὐκ ἂν ἔγωγέ σε μῆνιν ἀποϜρίψαντα κελοίμην
Ἀργείοισιν ἀμυνέμεναι, χατέουσί περ ἔμπης·
νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ, τὰ δ' ὄπισθεν ὑπέστη,
ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους,
κρινάμενος κατὰ λαὸν Ἀχαιικόν, οἵ τε σοὶ αὐτῷ
φίλτατοι Ἀργείων· τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς
μηδὲ πόδας· πρὶν δ' οὔ τι νεμεσσητὸν κεχολῶσθαι.
οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέϜε' ἀνδρῶν
ἡρώων, ὅτε κέν τιν' ἐπιζάφελος χόλος ἵκοι·
δωρητοί τε πέλοντο παράϜρητοί τε Ϝέπεσσιν.
μέμνημαι τόδε Ϝέργον ἐγὼ πάλαι, οὔτι νέον γε,
ὡς ἦν. ἐν δ' ὑμῖν Ϝερέω πάντεσσι φίλοισιν.
Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι
ἀμφὶ πόλιν Καλυδῶνα, καὶ ἀλλήλους ἐνάριζον,
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς,
Κουρῆτες δὲ διαπραθέειν μεμαῶτες Ἄρηι.
καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσεν,
χωσαμένη ὅ Ϝοι οὔ τι θαλύσια γουνῷ ἀλῳῆς
Οἰνεὺς ῥέξ'· ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβας,
οἴῃ δ' οὐκ ἔρρεξε Διὸς κούρῃ μεγάλοιο,
ἢ λάθετ' ἢ οὐκ ἐνόησεν· ἀάσατο δὲ μέγα θυμῷ.

506^b = Θ 1 517 = Ω 297 523 = χ 59 530^b = Λ 337 537^b = Λ 340.

508 ὅς μέν κ' coni. Geist Bl. f. bay. Gymn. X 11 509 εὐχομένοιο Ar.: εὐξαμένοιο ACD 512 γρ. ἀποτίνῃ A 513 fort. ἀλλ' Ἀχιλεῦ κούρῃσι Διὸς πόρε σοὶ ἅμ' ἕπεσθαι vel αἵ τ' ἄλλων περ ἐπίγναμψαν 521 Ἀχαϊκὸν C 524 κλέα codd., cf. prol. p. 180 526 τ' ἐπέεσσιν codd. 533—549 damnat Moritz de Iliadis libro nono p. 11 537 ἐκλάθετ' οὐδ' Zen. — ἀάσσατο C.

ἣ δὲ χολωσαμένη δῖον γένος ἰοχέϝαιρα 16
ὦρσεν ἔπι χλούνην σῦν ἄγριον ἀργιόδοντα,
ὃς κακὰ πόλλ' ἔρρεξε ϝέθων Οἰνῆος ἀλωήν·
πολλὰ δ' ὅ γε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρά
αὐτῇσιν ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μήλων.
τὸν δ' υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος,
πολλέων ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας
καὶ κύνας· οὐ μὲν γάρ κε δάμη παύροισι βροτοῖσιν·
τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
ἣ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον καὶ ἀυτήν,
ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι,
Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
ὄφρα μὲν οὖν Μελέαγρος ἀρηίφιλος πολέμιζεν,
τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν, οὐδ' ἐδύναντο
τείχεος ἔκτοσθεν μίμνειν πολέες περ ἐόντες.
ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων
οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,
ἤ τοι ὃ μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενος κῆρ
κεῖτο παρὰ μνηστῇ ἀλόχῳ, καλῇ Κλεϝοπάτρῃ,
κούρῃ Μαρπήσσης καλλισφύρου Εὐηνίνης
Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν
τῶν τότε, καί ῥα ϝάνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης.
τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
Ἀλκυόνην καλέεσκον ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτῆς
μήτηρ ἀλκυόνος πολυπενθέος οἶτον ἔχουσα
κλαῖ', ὅτε μιν ϝεκάεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων.
τῇ ὅ γε παρκατέλεκτο χόλον θυμαλγέα πέσσων,
ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσιν
πόλλ' ἀχέουσ' ἠρᾶτο κασιγνήτοιο φόνοιο,
πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία,
κικλήσκουσ' Ἀίδην καὶ ἐπαινὴν Περσεφόνειαν,
πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυσι κόλποι,

546^{b} = Δ 99 554^{b} = Ξ 217 561^{b} = Z 413. Λ. 452. σ 5 565^{b} = Δ 513.

538 θέϊον γένος coni. Düntzer collato Z 180 539 σῦν ἄγριον οὐδὲ ἐῴκει θηρί γε σιτοφάγῳ ἀλλὰ ῥίῳ ὑλήεντι Aristoteles hist. anim. VI 28 540 ἔρρεξεν Ammonius: ἔρδεσκεν codd. 547 ἔθηκε Eust. 551 οὐδ' ἐθέλεσκον Aristoph. 552 ἐκτὸς ἐόντα μένειν coni. Nitzsch Beitr. 150, equidem moenia castrorum intellego collato Σ 447 557—572 interpolatori deberi probabat Nitzsch Beitr. 71 562 αὐτῇ ἢ αὐτῆς Eust. 563 ἀλκυόνος A 564 κλαῖ' ὅτε codd. et Zen.: κλαῖεν ὃ Ar. — ἀνήρπασε CD et γρ. A: ἀφήρπασε A 567 κασιγνήτοιο codd. et Ar.: γρ. κασιγνητοῖο schol. A 569 γρ. Φερσεφόνειαν A.

παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις Ἐρινύς 16
ἔκλυεν ἐξ Ἐρέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα.
τῶν δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει
πύργων βαλλομένων. τὸν δὲ λίσσοντο γέροντες
Αἰτωλῶν, πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους,
ἐξελθεῖν καὶ ἀμῦναι, ὑποσχόμενοι μέγα δῶρον.
ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς,
ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι
πεντηκοντόγυον, τὸ μὲν ἥμισυ ϝοινοπέδοιο,
ἥμισυ δὲ ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι.
πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεύς,
οὐδοῦ ἐπεμβεβαὼς ὑψηρεφέος θαλάμοιο,
σείων κολλητὰς σανίδας, γουνούμενος υἱόν·
πολλὰ δὲ τόν γε κασίγνηται καὶ πότνια μήτηρ
ἐλλίσσονθ'· ὃ δὲ μᾶλλον ἀναίνετο· πολλὰ δ' ἑταῖροι,
οἵ ϝοι κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων·
ἀλλ' οὐδ' ὧς τοῦ θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον,
πρίν γ' ὅτε δὴ θάλαμος πύκ' ἐβάλλετο, τοὶ δ' ἐπὶ πύργων
βαῖνον Κουρῆτες καὶ ἐνέπρηθον μέγα ϝάστυ.
καὶ τότε δὴ Μελέαγρον ἐύζωνος παράκοιτις
λίσσετ' ὀδυρομένη, καί ϝοι κατέλεξεν ἅπαντα
κήδε', ὅσ' ἀνθρώποισι πέλει, τῶν ϝάστυ ϝαλώῃ·
ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.
τοῦ δ' ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ϝέργα,
βῆ δ' ἰέναι, χροῒ δ' ἔντε' ἐδύσετο παμφανόωντα.
ὣς ὃ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ
ϝείξας ϝῷ θυμῷ· τῷ δ' οὐκέτι δῶρ' ἐτέλεσσαν
πολλά τε καὶ χαρίεντα, κακὸν δ' ἤμυνε καὶ αὔτως.
ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί, μηδέ σε δαίμων
ἐνταῦθα τρέψειε, φίλος· χαλεπὸν δέ κεν εἴη
νηυσὶν καιομένῃσιν ἀμυνέμεν· ἀλλ' ἐπὶ δώροις
ἔρχεο· ϝῖσον γάρ σε θεῷ τίσουσιν Ἀχαιοί.

596^{b} = Ο 120 598^{a} = ε 126 599^{a} = Θ 204.

571 παιδὶ δόμεν θάνατον codd.; ne παῖδα δόμεν θανάτῳ ad analogiam Pindarici Κύκνον θανάτῳ πόρεν (Ol. II 90) corrigamus, obstat elecutio τοι δαίμονα δώσω Η 166 — ἐριννὺς C 572 ἐρέβευσφιν codd. 574 δὲ λίσσοντο AC Ar.: δ' ἐλισσ. D 580 ψιλῆς sc. γῆς Ar. 582 ἐπεμβεβαὼς ἢ ὑπερβεβαὼς Eust. 584 γρ. κασίγνητοι schol. A 588 ἐπὶ πύργῳ ἢ ἐπὶ πύργων Eust. 592 ὅσσα κάκ' ἀνθρ. Aristot. rhet. I 7 — ἀλώῃ A ἁλώη CD, cf. prol. § 90 593 λαοὶ μὲν φθινύθουσι Arist. l. l. 594 τέκνα δὲ δήιοι Zen. 596 γρ. ἐδύσατο A 601 χαλεπὸν AD: κάκιον C et γρ. A 602 δώρων Ar.

εἰ δέ κ᾽ ἄτερ δώρων πόλεμον φθισήνορα δύῃς, 16
οὐκέθ᾽ ὁμῶς τιμῆς ἔσεαι, πόλεμόν περ ἀλαλκών.“
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„Φοῖνιξ, ἄττα γεραιέ, διοτρεφές, οὔ τί με ταύτης
χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ,
ἥ μ᾽ ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰς ὅ κ᾽ ἀυτμή
ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ᾽ ὀρώρῃ.
ἄλλο δέ τοι ϝερέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
μή μοι σύγχεϝε θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρεΐδῃ ἥρωι φέρων χάριν· οὐδέ τί σε χρή
τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι·
καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν, ὅς κ᾽ ἐμὲ κήδῃ.
[ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.]
οὗτοι δ᾽ ἀγγελέουσι, σὺ δ᾽ αὐτόθι λέξεο μίμνων
εὐνῇ ἔνι μαλακῇ· ἅμα δ᾽ ἠοῖ φαινομένηφιν
φρασσόμεθ᾽, ἤ κε νεώμεθ᾽ ἐφ᾽ ἡμέτερ᾽ ἤ κε μένωμεν.“
ἦ, καὶ Πατρόκλῳ ὅ γ᾽ ἐπ᾽ ὀφρύσι νεῦσε σιωπῇ
Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα
ἐκ κλισίης νόστοιο μεδοίατο. τοῖσι δ᾽ ἄρ᾽ Αἴας
ἀντίθεος Τελαμωνιάδης μετὰ μῦθον ἔϝειπεν·
„διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
ἴομεν· οὐ γάρ μοι δοκέει μύθοιο τελευτή
τῇδέ γ᾽ ὁδῷ κρανέεσθαι· ἀπαγγεῖλαι δὲ τάχιστα
χρὴ μῦθον Δαναοῖσι, καὶ οὐκ ἀγαθόν περ ἐόντα,
οἵ που νῦν ἕαται ποτιδέχμενοι. αὐτὰρ Ἀχιλλεύς
ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμόν,
σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων
τῆς, ᾗ μιν παρὰ νηυσὶν ἐτίομεν ἔξοχον ἄλλων,
νηλής. καὶ μέν τίς τε κασιγνήτοιο φονῆος
ποινὴν ἢ ϝοῦ παιδὸς ἐδέξατο τεθνηῶτος·
καί ῥ᾽ ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ᾽ ἀποτίσας,
τοῦ δέ τ᾽ ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ

606 = *Α* 84 609^{b} = *Κ* 89 610 = *Κ* 90. *Φ* 388 611 = *Α* 297 612^{b} = *Ω* 128 613^{b} = 496 618^{b} = *Ι* 682. *Λ* 685. *Ω* 600 620^{b} = *Α* 528 635^{b} = *Κ* 220.

604 **δύῃς: δοίης** D, in quo nescio an lateat **δυίῃς**. 605 **τιμῆς** Ar. **οὐκέτι τιμήεις** coni. Menrad. 609—10 in suspicionem vocavit Düntzer 612 **σύγχει** codd. — **ὀδυρόμενος κινυρίζων** Zen., **ἐνὶ στήθεσσιν ἀχεύων** Ar. 616 damnavit Heyne 622. versum 431 olim talis fere versus excepisse videtur **ὀψὲ δὲ δὴ μετέειπε μέγας Τελαμώνιος Αἴας** post 627 Vrat. aliique codices interpolati addunt **εἰπέμεν Ἀτρείδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ** (= *Η* 373) 628 **ποτιδέχμενοι** Cobet misc. crit. 360: **ποτιδεγμένοι** AC **προτιδεγμένοι** D 632 **τίς γε** Ar. — **φονῆος** A Ar.: **φόνοιο** CD et **γρ.** A.

ποινὴν δεξαμένῳ. σοὶ δ᾽ ἄλληκτόν τε κακόν τε 16
θυμὸν ἐνὶ στήθεσσι θεοὶ θέσαν εἵνεκα κούρης
οἴης. νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχ᾽ ἀρίστας
ἄλλα τε πόλλ᾽ ἐπὶ τῇσι. σὺ δ᾽ ἵλαον ἔνθεο θυμόν,
αἴδεσσαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοί εἰμεν
πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων
κήδιστοί τ᾽ ἔμεναι καὶ φίλτατοι, ὅσσοι Ἀχαιοί.“
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
πάντα τί μοι κατὰ θυμὸν ἐϝείσαο μυθήσασθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ᾽ ἐκείνων
μνήσομαι, ὥς μ᾽ ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρεΐδης ὡς εἴ τιν᾽ ἀτίμητον μετανάστην.
ἀλλ᾽ ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε·
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
πρίν γ᾽ υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι
κτείνοντ᾽ Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας.
ἀμφὶ δέ τοι τῇ ἐμῇ κλισίῃ καὶ νηὶ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀίω.“
ὣς ἔφαθ᾽, οἳ δὲ ϝέκαστος ἑλὼν δέπας ἀμφικύπελλον,
σπείσαντες παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ᾽ Ὀδυσσεύς.
Πάτροκλος δ᾽ ἑτάροισιν ἰδὲ δμῳῇσι κέλευσεν
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα.
αἳ δ᾽ ἐπιπειθόμεναι στόρεσαν λέχος, ὡς ἐκέλευσεν,
κώεά τε ῥῆγός τε λίνοιό τε λεπτὸν ἄωτον.
ἔνθ᾽ ὁ γέρων κατέλεκτο καὶ ἠῶ δῖαν ἔμιμνεν.
αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης ἐυπήκτου·
τῷ δ᾽ ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν ἦγεν,
Φόρβαντος θυγάτηρ Διομήδη καλλιπάρῃος.
Πάτροκλος δ᾽ ἑτέρωθεν ἐλέξατο· πὰρ δ᾽ ἄρα καὶ τῷ
Ἶφις ἐύζωνος, τήν ϝοι πόρε δῖος Ἀχιλλεύς
Σκῦρον ἑλὼν αἰπεῖαν, Ἐνυῆος πτολίεθρον.
οἳ δ᾽ ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρεΐδαο γένοντο,

641^{b} = Ζ 194 643 = *Α* 84 644 = *Η* 234 648 = *Π* 59 651 = *Λ* 197 652 = *Λ* 328 655^{b} = *Ν* 747 658 = *Ω* 643 659 = 621 663 = *Ω* 675 669 = *Η* 313.

636 **δεξαμένῳ** A et CD m. pr. et Ar. secundum schol. *Ε* 266: **δεξαμένου** CD man. rec., cf. *Κ* 188. *Ξ* 139 — **ἄληκτον** CD 637 **οὕνεκα** C 641 **πληθύος: ἀθρόοι** Zen. 645 **τι** codd.: **σὺ** Barnes **τὰ** Bentley — **γρ. ἐείσαο** schol. A: **ἐείσω** ACD 647 **ἔρεξεν: ἔθηκε** Et. Gud. p. 582, 20 653 **γρ. κατά τε φλέξαι** schol. A 654 **ἐμῇ: ᾽μῇ** ACD 657 **λείψαντες** ed. alt. Aristarchi 660 **λέχος ἐγκονέουσαι** Zen. 664 **τῷ δὲ γυνὴ παρέλεκτο Κάειρ᾽ ἦν** Zen. 669 **κλισίῃσιν** C: **κλισίην** AD.

τοὺc μὲν ἄρα χρυcέοιcι κυπέλλοιc υἷεc Ἀχαιῶν **16**
δειδέχατ᾽ ἄλλοθεν ἄλλοc ἀναcταδόν, ἔκ τ᾽ ἐρέοντο·
πρῶτοc δ᾽ ἐξερέεινε Fάναξ ἀνδρῶν Ἀγαμέμνων·
„Fείπ᾽ ἄγε μ᾽, ὦ πολύαιν᾽ Ὀδυcεῦ, μέγα κῦδοc Ἀχαιῶν·
ἤ ῥ᾽ ἐθέλει νήεccιν ἀλεξέμεναι δήιον πῦρ,
ἦ ἀπέFειπε, χόλοc δ᾽ ἔτ᾽ ἔχει μεγαλήτορα θυμόν;“
τὸν δ᾽ αὖτε προcέFειπε πολύτλαc δῖοc Ὀδυccεύc·
„Ἀτρεΐδη κύδιcτε, Fάναξ ἀνδρῶν Ἀγάμεμνον,
κεῖνόc γ᾽ οὐκ ἐθέλει cβέccαι χόλον, ἀλλ᾽ ἔτι μᾶλλον
πιμπλάνεται μένεοc, cὲ δ᾽ ἀναίνεται ἠδὲ cὰ δῶρα.
αὐτόν cε φράζεcθαι ἐν Ἀργείοιcιν ἄνωγεν,
ὅππωc κεν νῆάc τε cαῷc καὶ λαὸν Ἀχαιῶν·
αὐτὸc δ᾽ ἠπείληcεν ἅμ᾽ ἠοῖ φαινομένηφιν
νῆαc ἐυccέλμουc ἅλαδ᾽ ἑλκέμεν ἀμφιFελίccαc.
καὶ δ᾽ ἂν τοῖc ἄλλοιcιν ἔφη παραμυθήcαcθαι
Fοίκαδ᾽ ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆc· μάλα γάρ Fεθεν εὐρύοπα Ζεύc
χεῖρα ἑὴν ὑπερέcχε, τεθαρcήκαcι δὲ λαοί.
ὣc ἔφατ᾽· εἰcὶ καὶ οἵδε τάδ᾽ εἰπέμεν, οἵ μοι ἕποντο,
Αἴαc καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
Φοῖνιξ δ᾽ αὖθ᾽ ὁ γέρων κατελέξατο· ὣς γὰρ ἀνώγει,
ὄφρα Ϝοι ἐν νήεσσι φίλην ἐς πατρίδ᾽ ἕπηται
αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ᾽ οὔ τί μιν ἄξει.“
ὣc ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντεc ἀκὴν ἐγένοντο cιωπῇ
[μῦθον ἀγαccάμενοι· μάλα γὰρ κρατερῶc ἀγόρευcεν].
δFὴν δ᾽ ἄνεῳ ἦcαν τετιηότεc υἷεc Ἀχαιῶν·
ὀψὲ δὲ δὴ μετέFειπε βοὴν ἀγαθὸc Διομήδηc·
„Ἀτρεΐδη κύδιcτε, Fάναξ ἀνδρῶν Ἀγάμεμνον,
μηδ᾽ ὄφελεc λίccεcθαι ἀμύμονα Πηλεΐωνα,
μυρία δῶρα διδούc· ὃ δ᾽ ἀγήνωρ ἐcτὶ καὶ ἄλλωc·
νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃcιν ἐνῆκαc.
ἀλλ᾽ ἤ τοι κεῖνον μὲν ἐάcομεν, ἤ κεν ἴῃcιν
ἤ κε μένῃ· τότε δ᾽ αὖτε μαχήcεται, ὁππότε κέν μιν
θυμὸc ἐνὶ cτήθεccιν ἀνώγῃ καὶ θεὸc ὄρcῃ.

670 sq. cf. *O* 86 sq. 672 = *K* 543 et *A* 172 673 = *K* 544 677 = 96 682^{b} = 618 684—7 = 417—20 691—4 = 428—31 695—6 = 30—1 701 = ξ 183.

674 *γρ. ἀμυνέμεναι* A 681 *σαῷς καὶ σοῷς* Ar., *σόῃς* A *σόῃς* C *σῴῃς* D, cf. *I* 393 685 fort. *ἀποπλεϜέμεν* 688—92 damnarunt Aristoph. Ar., 692 solum damnavit Zen. 688 *τὰ Ϝειπ.* Bekker 694 damnarunt Aristoph. Ar., ne scripsit quidem Zen. — *γρ. μῦθον φρασσάμενοι* schol. A — *ἀγόρευε* C *γρ. ἀπέειπε* A 698 *μηδ᾽* C Ar.: *μὴ* AD 699 *γρ. καὶ αὔτως* A 700 *γρ. ἀνῆκας* schol A 701—3 suspectos habent Duentzer Nauck.

ἀλλ᾽ ἄγεθ᾽, ὡc ἂν ἐγὼ Fείπω, πειθώμεθα πάντεc· **16**
νῦν μὲν κοιμήcαcθε τεταρπόμενοι φίλον ἦτορ
cίτου καὶ Fοίνοιο· τὸ γὰρ μένοc ἐcτὶ καὶ ἀλκή·
αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλοc ἠώc,
καρπαλίμωc πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππουc
ὀτρύνων, καὶ δ᾽ αὐτὸc ἐνὶ πρώτοιcι μάχεcθαι.“
ὣc ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντεc ἐπήνηcαν βαcιλῆεc,
μῦθον ἀγαccάμενοι Διομήδεοc ἱπποδάμοιο.
καὶ τότε δὴ cπείcαντεc ἔβαν κλιcίηνδε Fέκαcτοc,
ἔνθα δὲ κοιμήcαντο καὶ ὕπνου δῶρον ἕλοντο.

ΔΟΛΩΝΕΙΑ.

Ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαίων K
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
ἀλλ᾽ οὐκ Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν,
ὕπνος ἔχε γλυκερός, πολλὰ φρεσὶν ὁρμαίνοντα.
ὡς δ᾽ ὅτ᾽ ἂν ἀστράπτῃ πόσις Ἥρης ἠυκόμοιο,
τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον ἠὲ χάλαζαν
ἢ νιφετόν, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας,
ἠέ ποθι πτολέμοιο μέγα στόμα πευκεδανοῖο,
ὣς πυκίν᾽ ἐν στήθεσσιν ἀνεστενάχιζ᾽ Ἀγαμέμνων
νειόθεν ἐκ κραδίης, τρομέοντο δέ Ϝοι φρένες ἐντός.
ἦ τοι ὅτ᾽ ἐς πεδίον τὸ Τρωικὸν ἀθρήσειεν,
θαύμαζεν πυρὰ πολλά, τὰ καίετο Ἰλιόθι πρό,
αὐλῶν συρίγγων τ᾽ ἐνοπὴν ὅμαδόν τ᾽ ἀνθρώπων·
αὐτὰρ ὅτ᾽ ἐς νῆάς τε Ϝίδοι καὶ λαὸν Ἀχαιῶν,
πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας
ὑψόθ᾽ ἐόντι Διί, μέγα δ᾽ ἔστενε κυδάλιμον κῆρ.

704 = *B* 139 706 = *T* 161 710 = *H* 344 711 = *H* 404 713 = *H* 482.
1—2 cf. *B* 1—2. *Ω* 677—8 1^{b} = *H* 159 2 = *Ω* 678 3^{b} = B 243 8 cf. *T* 313 12^{b} = *Θ* 554 16^{b} = *Σ* 33. φ 247

709 damnavit Bentley — *ὄτρυνον* Bentley 712 *κλισίηθεν* C.
De libro *K* scholiasta Victorianus memoriae prodidit haec: *φασὶ τὴν ῥαψῳδίαν ὑφ᾽ Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ εἶναι μέρος Ἰλιάδος, ὑπὸ δὲ Πεισιστράτου τετάχθαι εἰς τὴν ποίησιν·* cf. Eust. p. 785, 41 et Duentzer Hom. Abh. p. 2 sqq. et prol. p. 32; inde minore litterarum genere hunc librum exarandum curavimus, iidem tamen certa indicia adhuc desideramus, utrum hoc carmen ab alio poeta atque libri *Θ I*, an ab eodem poeta, verum non uno tractu, sed aliquanto temporis intermisso compositum sit. v. 1 *ὦλλοι* Zen. 10 *φοβέοντο* Zen. 12 *Ἰλιόθι πρό* codd., cf. prol. p. 112.

ἥδε δέ ϝοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
Νέστορ' ἔπι πρῶτον Νηλήιον ἐλθέμεν ἀνδρῶν,
εἴ τινά ϝοι σὺν μῆτιν ἀμύμονα τεκτήναιτο,
ἥ τις ἀλεξίκακος πᾶσιν Δαναοῖσι γένοιτο.
ὀρθωθεὶς δ' ἔνδυνε περὶ στήθεσσι χιτῶνα,
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
ἀμφὶ δ' ἔπειτα δαφοινὸν ἐϝέσσατο δέρμα λέοντος
αἴθωνος μεγάλοιο ποδηνεκές, εἵλετο δ' ἔγχος.
    ὣς δ' αὔτως Μενέλαον ἔχε τρόμος, οὐδὲ γὰρ αὐτῷ
ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζανε, μή τι πάθοιεν
Ἀργεῖοι, τοὶ δὴ ϝέθεν εἵνεκα πουλὺν ἐφ' ὑγρήν
ἤλυθον ἐς Τροίην, πόλεμον θρασὺν ὁρμαίνοντες.
παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψεν
ποικίλῃ; αὐτὰρ ἐπὶ στεφάνην κεφαλῆφιν ἀείρας
θήκατο χαλκείην, δόρυ δ' εἵλετο χειρὶ παχείῃ.
βῆ δ' ἴμεν ἀνστήσων ϝὸν ἀδελφεόν, ὃς μέγα πάντων
Ἀργείων ἐϝάνασσε, θεὸς δ' ὣς τίετο δήμῳ.
τὸν δ' εὗρ' ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλά
νηὶ πάρα πρυμνῇ· τῷ δ' ἀσπάσιος γένετ' ἐλθών.
τὸν πρότερος προσέϝειπε βοὴν ἀγαθὸς Μενέλαος·
„τίφθ' οὕτως, ϝηθεῖε, κορύσσεαι; ἦ τιν' ἑταίρων
ὀτρυνέεις Τρώεσσιν ἔπι σκοπόν; ἀλλὰ μάλ' αἰνῶς
δείδω, μὴ οὔ τίς τοι ὑπόσχηται τόδε ϝέργον,
ἄνδρας δυσμενέας σκοπιαζέμεν οἶος ἐπελθών
νύκτα δι' ἀμβροσίην· μάλα τις θρασυκάρδιος ἔσται."
    τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
„χρεὼ βουλῆς ἐμὲ καὶ σέ, διοτρεφὲς ὦ Μενέλαε,
κερδαλέης, ἥ τίς κε ϝερύσσεται ἠδὲ σαώσει
Ἀργείους καὶ νῆας, ἐπεὶ Διὸς ἐτράπετο φρήν.
Ἑκτορέοις ἄρα μᾶλλον ἐπὶ φρένα θῆχ' ἱεροῖσιν·
οὐ γάρ πω ϝιδόμην, οὐδὲ κλύον αὐδήσαντος,
ἄνδρ' ἕνα τοσσάδε μέρμερ' ἐπ' ἤματι μητίσασθαι,
ὅσσ' Ἕκτωρ ἔρρεξε διίφιλος υἷας Ἀχαιῶν,
αὔτως, οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο.
[ϝέργα δ' ἔρεξ' ὅσα φημὶ μελησέμεν Ἀργείοισιν
δηθά τε καὶ δολιχόν· τόσα γὰρ κακὰ μήσατ' Ἀχαιούς.]

17 = *B* 5 21 cf. *B* 42 22 = *B* 44 27^{b} = *δ* 709 28 = *δ* 146 33^{b} = *E* 78 36 = *P* 560 38^{b}—39 = *T* 23. *X* 454 41 = *B* 57 et *N* 343 44^{b} = *O* 290 47^{b} = *Π* 76.

19 συμμῆτιν CD et γρ. schol. A — ἀμείνονα C 25 αὖ τῷ A, ut Ptolemaeus Ascal. 26 γρ. πάθωσιν A 32 γρ. ἀστήσων schol. A 33 ἤνασσε ACD 38 ὀτρυνέεις Ar.: ὀτρύνεις ACD — ἐπίσκοπον Ar., cf. *K* 342 41 ἔσται AC: εἴη D et γρ. A ἐστί Ixio 44 σαώσῃ coni. Nauck 46 θῆχ': γρ. εἶχ' schol. A 48 ἐπ' ACD: ἐν Ar. 51—2 damnarunt Aristoph. Ar., confer Friedlaenderum in Phil. IV 588.

ἀλλ' ἴθι νῦν Αἴαντα καὶ Ἰδομενῆα κάλεσσον
ῥίμφα θέϝων παρὰ νῆας· ἐγὼ δ' ἐπὶ Νέστορα δῖον
εἶμι, καὶ ὀτρυνέω ἀνστήμεναι, αἴ κ' ἐθέλῃσιν
ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος ἠδ' ἐπιτεῖλαι.
κείνου γάρ κε μάλιστα πιθοίατο· τοῖο γὰρ υἱός
σημαίνει φυλάκεσσι καὶ Ἰδομενῆος ὀπάων
Μηριόνης· τοῖσιν γὰρ ἐπετράπομέν γε μάλιστα."
    τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
„πῶς γάρ μοι μύθῳ ἐπιτέλλεαι ἠδὲ κελεύεις;
αὖθι μένω μετὰ τοῖσι, δεδεγμένος εἰς ὅ κεν ἔλθῃς,
ἦε θέϝω μετὰ σ' αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω;"
    τὸν δ' αὖτε προσέϝειπε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„αὖθι μένειν, μή πως ἀβροτάξομεν ἀλλήλοιιν
ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι.
φθέγγεο δ' ᾗ κεν ἴῃσθα, καὶ ἐγρήγορθαι ἄνωχθι,
πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ϝέκαστον,
πάντας κυδαίνων· μηδὲ μεγαλίζεο θυμῷ·
ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα. ὧδέ που ἄμμιν
Ζεὺς ἐπὶ γινομένοισιν ἵει κακότητα βαρεῖαν."
    ὣς ϝειπὼν ἀπέπεμπεν ἀδελφεόν, εὖ ἐπιτείλας,
αὐτὰρ ὃ βῆ ῥ' ἰέναι μετὰ Νέστορα ποιμένα λαῶν.
τὸν δ' εὗρεν παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ
εὐνῇ ἔνι μαλακῇ· παρὰ δ' ἔντεα ποικίλ' ἔκειτο,
ἀσπὶς καὶ δύο δοῦρε φαεινή τε τρυφάλεια.
πὰρ δὲ ζωστὴρ κεῖτο παναίολος, ᾧ ῥ' ὁ γεραιός
ζώννυθ', ὅτ' ἐς πόλεμον φθισήνορα θωρήσσοιτο
λαὸν ἄγων, ἐπεὶ οὐ μὲν ἐπέτρεπε γήραϊ λυγρῷ.
ὀρθωθεὶς δ' ἄρ' ἐπ' ἀγκῶνος, κεφαλὴν ἐπαείρας,
Ἀτρεΐδην προσέϝειπε καὶ ἐξερεείνετο μύθῳ·
ἠὲ τὸν, ὃς Σκύρῳ μοι ἔνι τρέφεται φίλος υἱός,
εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής.
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐόλπει
οἶον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο
αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι,
ὡς ἄν μοι τὸν παῖδα θοῇ ἐνὶ νηὶ μελαίνῃ
Σκυρόθεν ἐξαγάγοις καί Fοι δείξειας ἕκαστα,
κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.
ἤδη γὰρ Πηλῆά γ' ὀίομαι ἢ κατὰ πάμπαν
τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκάχησθαι,
γήραΐ τε στυγερῷ καὶ ἐμὴν ποτιδέχμενον αἰεί
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται."
ὣc ἔφατο κλαίων, ἐπὶ δὲ cτενάχοντο γέροντεc,
μνηcάμενοι τὰ Fέκαcτοc ἐνὶ μεγάροιcιν ἔλειπον.
μυρομένουc δ' ἄρα τούc γε Fιδὼν ἐλέηcε Κρονίων,
αἶψα δ' Ἀθηναίην Fέπεα πτερόεντα προcηύδα·

311^b = Ι 432 — 318 = Θ 516 — 320^b = η 166. ο 77 — 323^b = Π 11 — 324^a = Ζ 463 — 329 = Ι 246 — 333 = η 225. τ 526. Ε 213 — 338 = 301 — 340 = Ρ 441 — 341 = Θ 351.

311 Νέστωρ τ' Harl., cf. Ο 302 316 λιαρὸν ubique reponi iubet Sittl 321 γὰρ κακώτερον D, unde γάρ κε κακώτερον Madvig adv. crit. I 186 322 Fοῦ πατρὸς Brugman Probl. p. 46 326—337 damnat Geppert, Ursprung d. Hom. Ged. I 230; recte ille quidem, neque Gemollium (Herm. XVIII 78) probo versum Τ 334 auctori Odysseae exemplo fuisse dicentem 327 tamquam ex cyclici poetae versu εἴ που ἔτι ζώει γε Πυρῆς ἐμὸς ὃν κατέλειπον talso illatum damnarunt Aristoph. et Ar. — ζώει: ζῴη C 328 ἐώλπει codd 331 ἐνὶ A: σὺν CD et γρ. A 333 δμῶας codd. et Ar.: γρ. δμῳᾶς schol. A 335 ἀκαχῆσθαι Ptolemaeus Ascalonita 336 ποτιδέχμ. AC: προτιδέγμ. DS 339 μνησάμενος C.

„τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἐῆος. 32
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεcὶ μέμβλετ' Ἀχιλλεύc;
κεῖνος ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων
ἧcται ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
οἴχονται κατὰ δεῖπνον, ὃ δ' ἄκμηνος καὶ ἄπαcτοc.
ἀλλ' ἴθι Ϝοι νέκταρ τε καὶ ἀμβροcίην ἐρατεινήν
cτάξον ἐνὶ cτήθεcc', ἵνα μή μιν λιμὸc ἵκηται.“
ὣc Ϝειπὼν ὤτρυνε πάροc μεμαυῖαν Ἀθήνην·
ἡ δ' ἅρπῃ ϜεϜικυῖα τανυπτέρυγι λιγυφώνῳ
οὐρανοῦ ἐκκατέπαλτο δι' αἰθέροc. αὐτὰρ Ἀχαιοί
αὐτίκα θωρήccοντο κατὰ cτρατόν· ἡ δ' Ἀχιλῆι
νέκταρ ἐνὶ cτήθεccι καὶ ἀμβροcίην ἐρατεινήν
cτάξ', ἵνα μή μιν λιμὸc ἀτερπὴc γούναθ' ἵκηται,
αὐτὴ δὲ πρὸc πατρὸc ἐριcθενέοc πυκινὸν δῶ
ᾤχετο. τοὶ δ' ἀπάνευθε νεῶν ἐχέϜοντο θοάων.

ΑΧΙΛΛΗΙΔΟΣ ΠΡΟΤΕΛΕΙΑ.

ὡς δ' ὅτε ταρφεῖαι νιφάδες Διὸς ἐκποτέονται
ψυχραὶ ὑπὸ Ϝριπῆς αἰθρηγενέος Βορέαο,
ὣς τότε ταρφεῖαι κόρυθες λαμπρὸν γανόωσαι
νηῶν ἐκφορέοντο, καὶ ἀσπίδες ὀμφαλόεσσαι
θώρηκές τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.
αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθών
χαλκοῦ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσίν
ἀνδρῶν· ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς.
[τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ Ϝοι ὄσσε
λαμπέσθην ὡς εἴ τε πυρὸς σέλας, ἐν δέ Ϝοι ἦτορ
δῦν' ἄχος ἄτλητον· ὃ δ' ἄρα Τρωσὶν μενεαίνων
δύσετο δῶρα θεοῦ, τά Ϝοι Ἥφαιστος κάμε τεύχων.]
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκεν

344 = *Σ* 3 347—8 = 38—9 349 = *Δ* 73 353—4 = 347—8 358 = *Ο* 171 360^{b} = *Ν* 264 362^{b} = *Β* 458 365^{a} = Hes. scut. 164 369—71 = *Γ* 330—2.

342 ἐῆος AC ἐῆος D, ἑοῖο Zen., cf. *Α* 393 346 *κατὰ: μετὰ* Cobet, cf. *Α* 424 352 *ἣ δ': ἡδ'* C 354 *ἵκηται* codd.: *ἵκοιτο* Wolf collato *Ν* 711 355 *δὲ: γρ. δ' αὖ* schol. A 357 veterum carminum 32 et 33 alterius finis, alterius initium noviciis additamentis hausta sunt — *ταρφειαὶ* Ar. — *ἐκποτέωνται* malo 358 *ὑπὸ* S: *ὑπαὶ* ACD 361 *καταιγίαλοι* C — *μήλιναι* C 361 subicit cod. Vrat. *ἐκ νηῶν ἐχέοντο βοὴ δ' ἄσβεστος ὀρώρει* (= *Π* 267) 363 *ὑπ' ἀστεροπῆς* D *ὄρνυτο* A 365—8 *ἀθετοῦνται* schol. A, ab eodem rhapsodo, quo *Ο* 610—14, facti esse videntur.

καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας· 33
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν. 371
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε
εἵλετο, τοῦ δ' ἀπάνευθε σέλας γένετ' ἠύτε μήνης.
ὡς δ' ὅτ' ἂν ἐκ πόντοιο σέλας ναύτῃσι φανείῃ
καιομένοιο πυρός· τὸ δὲ καίεται ὑψόθ' ὄρεσφιν
σταθμῷ ἐν οἰοπόλῳ· τοὺς δ' οὐκ ἐθέλοντας ἄϜελλαι
πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν·
ὣς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανεν
καλοῦ δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείρας
κρατὶ θέτο βριαρήν· ἡ δ' ἀστὴρ ὣς ἀπέλαμπεν,
ἵππουρις τρυφάλεια, περισσείοντο δ' ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμείας.
πειρήθη δὲ Ϝέ' αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς,
εἰ Ϝοι ἐφαρμόσσειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῷ δ' ηὖτε πτερὰ γίνετ', ἄειρε δὲ ποιμένα λαῶν.
ἐκ δ' ἄρα σύριγγος πατρώιον ἐσπάσατ' ἔγχος,
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἕσαν, ἐν δὲ χαλινούς
γαμφηλῇς ἔβαλον, κατὰ δ' ἡνία τεῖναν ὀπίσσω
κολλητὸν ποτὶ δίφρον. ὃ δὲ μάστιγα φαεινήν
χειρὶ λαβὼν ἀραρυῖαν ἐφ' ἵπποιιν ἀνόρουσεν
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεύς,

372—3 = *Γ* 334—5 381^{b} = Ζ 235. ο 108 382—3 = *Χ* 315—6, cf. *Σ* 612 385 cf *Ρ* 210 388—91 = *Π* 141—4 392 cf. *Ω* 474 394^{b} = *Γ* 261 395^{b} = *Κ* 500.

374 damnat Hermann 375 *φανήῃ* A *φανείῃ* C *φανήῃ* D 379 *σάκεος: κεφαλῆς* S 382—3 spurios ducit Nauck, dubito an recte 384 *δὲ Ϝέ'* scripsi collatis *Ξ* 427. *Ο* 105: *δ' ἕο* ACS Ar. *δ' ἑοῦ* Zen., *δὲ οἷ* Ptolem. Ascal., *δὲ Ϝεῦ* Bekker 385 *γυῖα* ACDS: *δῶρα* Lips. 386 *ηὖτε* A, cf. *Γ* 10: *εὖτε* CS, *αὖτε* Aristarchus secundis curis ex editionibus *ἀπὸ τῶν πόλεων* scripsit, *ὥστε* Aristoph., dubito an vere 387—391 obelis notati in A 390 *πόρε* S et *γρ.* schol. A, *τάμε* ACD 391 *ἐν κορυφῆς* Ar. et A supra lin. 392 *ἀμφιέποντε* C 393 *ζεύγνυον* ACS Ar., alii *ζεύγνυσαν* legisse videntur 395 *ποτὶ: προτὶ* S 396 *ἵπποισιν* C.

τεύχεσι παμφαίνων ὥς τ' ἠλέκτωρ Ὑπερίων.
σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
„Ξάνθε τε καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης,
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί χ' ἕομεν πολέμοιο,
μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι τεθνηῶτα."
τόν δ' ἄρ' ὑπὸ ζυγόφι προσέφη πόδας αἰόλος ἵππος
Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι, πᾶσα δὲ χαίτη
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν οὖδας ἵκανεν,
αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
„καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ·
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον. οὐδέ τοι ἡμεῖς
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή.
οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε
Τρῶες ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἕλοντο·
ἀλλὰ θεῶν ὤριστος, ὃν ἠύκομος τέκε Λητώ,
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκεν.
νῶι δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέϝοιμεν,
ἥν περ ἐλαφροτάτην φάσ' ἔμμεναι· ἀλλὰ σοὶ αὐτῷ
μόρσιμόν ἐστι θεῷ τε καὶ ἀνέρι ϝῖφι δαμῆναι."
ὣς ἄρα φωνήσαντος Ἐρινύες ἔσχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
εὖ νυ τὸ ϝοῖδα καὶ αὐτὸς ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι,
νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
οὐ λήξω πρὶν Τρῶας ἅδην ἑάσαι πολέμοιο."
ἦ ῥα, καὶ ἐν πρώτοισιν ἑὼν ἔχε μώνυχας ἵππους.

398 = Ζ 513. 399 = Ψ 402 400 cf. Π 149—150 406 = Ρ 440 410^{b} = Ε 629 413^{b} = Λ 36 414 = Σ 456 419 = Π 48 420^{b} = Π 721 423 cf. Ν 315 424^{b} = Λ 513.

398—424 damnat Payne Knight 398 παμφαίνων: λαμπόμενος D 401 ἡνιοχῆας DP 402 Δαναῶν: γρ. λαῶν schol. A — χ' ἑῶμεν ACDS κ' ἑῶμεν Vrat. et γρ. schol. A, γρ. χέομεν schol. V, χ' ἕομεν scribendum docuimus prol. p. 182 403 αὐτόθι CD et γρ. A: αὐτοῦ AS 404 ζυγόφιν C 404—24 damnat Kammer, Zur hom. Frage II 69, cf. Υ 495 407 ἀθετεῖται schol. A 415 θέωμεν C et γρ. A 416—7 ἀθετοῦνται schol. A 416 ἥν: τήν S 418 ἐριννύες C 421 τὸ Bekker: τοι codd. 423 ἐλάσαι codd., cf. Ν 315 424 πρώτοισιν ἑὼν Bentley collatis Δ 341 et Μ 313, qua coniectura etiam insolentia dativi οις tolletur: πρώτοις ἰάχων codd.

ΘΕΟΜΑΧΙΑΣ ΑΡΧΗ ΑΙΝΕΙΟΥ ΑΡΙΣΤΕΙΑ.

Ὣς οἳ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο Υ
ἀμφὶ σέ, Πηλέος υἱέ, μάχης ἀκόρητοι Ἀχαιοί,
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο·
Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι
κρατὸς ἀπ' Οὐλύμποιο πολυπτύχου· ἣ δ' ἄρα πάντῃ
φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
οὔτε τις οὖν ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο,
οὔτ' ἄρα νυμφάων, αἵ τ' ἄλσεα καλὰ νέμονται
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.
ἐλθόντες δ' ἐς δῶμα Διὸς νεφεληγερέταο
ξεστῇς αἰθούσῃσιν ἐνίζανον, ἃς Διὶ πατρί
Ἥφαιστος ποίησε ϝιδυίῃσι πραπίδεσσιν.
ὣς οἳ μὲν Διὸς ἔνδον ἀγηγέρατ'· οὐδ' Ἐνοσίχθων
νηκούστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς,
ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν·
„τίπτ' αὖτ', ἀργικέραυνε, θεοὺς ἀγορήνδε κάλεσσας;
ἤ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηεν."
τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν,
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
ἀλλ' ἤ τοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
ἔρχεσθ', ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς,

3 = Λ 56 4 cf. β 68 sq. 8—9 = ζ 123—4 10^{b} = Θ 387 11^{a} = Ζ 243 12 = Λ 608 15^{b} = ν 127 19 = Λ 560.

Liber Υ non unum carmen efficit, sed ex tribus partibus constat, quarum extrema (Υ 381—494), ut quae cum pugna prope ripam Scamandri commissa arcte coniuncta sit, veteris Iliadis fuisse videtur; in prima (Υ 1—74) theomachiam, quam ab interpolatore factam omnes fere consentiunt, praenuntiat deorum concilium, ex eodem tamquam modulo quo contio militum Achivorum (Τ 40 sqq.) formatum et cum concilio deorum libri octavi manifesto cohaerens. Denique quae media ab eodem, ni fallor, quo prima poeta inserta est fabula de pugna Achillis et Aeneae (Υ 75—352) omnibus nervis caret et impetum Achillis in interfectorem Patrocli prorumpentis insipide moratur. v. 2 γρ. ἀκόρητοι schol. A: ἀκόρητον ACD post 3 addit C m. rec. Ἕκτορι θωρήσσοντο μετὰ πρώτοισιν ἐόντι 4 Θέμιστι cod. Cant. — κέλευσε AD: κέλευε C 7—9 damnat Kammer, Zur hom. Frage II 62 8 αἵ τ': ταί τ' S 9 ex Od. ζ 124 nescio an huc invectum sit 11 αἰθούσσῃσιν AS — ἐνίζανον AC Ar.: ἐφίζανον D Zen. et γρ. A 12—33 et 38—39 damnat Naber quaest. hom. 196 12 εἰδυίῃσι CS 15 ἐξήρετο C 18 τῶν: τῶ S.

ἀμφοτέροιcι δ' ἀρήγεθ', ὅπῃ νόος ἐcτὶ Fεκάcτου. 34
εἰ γὰρ Ἀχιλλεὺc οἶοc ἐπὶ Τρώεccι μαχεῖται, 26
οὐδὲ μίνυνθ' ἕξουcι ποδώκεα Πηλεΐωνα.
καὶ δέ τέ μιν καὶ πρόcθεν ὑποτρομέεcκον ὁρῶντεc·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶc,
δείδω μὴ καὶ τεῖχοc ὑπέρμορον ἐξαλαπάξῃ."
ὣc ἔφατο Κρονίδηc, πόλεμον δ' ἀλίαcτον ἔγειρεν.
βὰν δ' ἴμεναι πόλεμόνδε θεοί, δίχα θυμὸν ἔχοντεc,
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰc Ἀθήνη
ἠδὲ Ποcειδάων γαιήοχοc ἠδ' ἐριούνηc
Ἑρμείαc, ὃc ἐπὶ φρεcὶ πευκαλίμῃcι κέκαcται·
Ἥφαιcτοc δ' ἅμα τοῖcι κίε cθένεϊ βλεμεαίνων,
χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο Fαραιαί·
ἐc δὲ Τρῶαc Ἄρηc κορυθαίολοc, αὐτὰρ ἅμ' αὐτῷ
Φοῖβοc ἀκερcεκόμηc ἠδ' Ἄρτεμιc ἰοχέFαιρα
Λητώ τε Ξάνθοc τε φιλομμειδήc τ' Ἀφροδίτη.
εἷοc μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔcαν ἀνδρῶν,
τεῖοc Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, οὕνεκ' Ἀχιλλεύc
ἐξεφάνη, δηρὸν δὲ μάχηc ἐπέπαυτ' ἀλεγεινῆc·
Τρῶαc δὲ τρόμοc αἰνὸc ὑπήλυθε γυῖα Fέκαcτον,
δειδιόταc, ὅθ' ὁρῶντο ποδώκεα Πηλεΐωνα
τεύχεcι λαμπόμενον, βροτολοιγῷ Fῖcον Ἄρηι.
αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
ὦρτο δ' Ἔριc κρατερὴ λαοccόοc, αὖε δ' Ἀθήνη,
cτᾶc' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεοc ἐκτόc,
ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀύτει.
αὖε δ' Ἄρηc ἑτέρωθεν ἐρεμνῇ λαίλαπι Fῖcοc,
ὀξὺ κατ' ἀκροτάτηc πόλιοc Τρώεccι κελεύων,
ἄλλοτε πὰρ Cιμόεντι θέFων ἐπὶ Καλλικολώνῃ.

27^b = Θ 474 34 = ϑ 322 36^b = Θ 337 37 = Σ 411 39^b = Z 428 42—3 = Σ 247—8 44 = H 215 46 = P 214 et Λ 295 49 = I 67 51^b = M 375.

26—30 iam a veteribus criticis sollicitatos esse testatur schol. B 26 *μάχηται* C m. pr. 28 *δέ τε*: *δέ τι* Ar. 30 *τινὲς γράφουσι ἀντὶ τοῦ δείδω μή· οὐ μέντοι μοῖρ' ἐστὶν ἔτι ζωοῦ Ἀχιλῆος | Ἰλίου ἐκπέρθαι εὐναιόμενον πτολίεθρον· | πέρσει δουράτεος ἵππος καὶ μῆτις Ἐπειοῦ* 30 *ὑπέρμορον* Ar.: *ὑπὲρ μόρον* codd., vide B 155 32—35. 38—40. 56—72 ab eodem quo Φ 391—514 poeta interpolatos esse existimat Kammer, Zur hom. Frage II 70 34 *Ποσιδάων* A et sic infra 57. 63. 67 35 *κέκασται* Ar.: *κέκαστο* ACDS 36—7 et 40 et 73—4 vexat Kammer, Zur hom. Fr. II 71 40 *φιλομμειδὴς*: *Διὸς θυγάτηρ* schol. V 41 *εἵως* codd. 42 *τείως* S *τέως δ'* A *τέως* CD, *γρ. τόφρα δ'* A — *μέγ' ἐκύδανεν* AD: *μέγα κύδανον* CS 43 *ἀπέπαυτ'* S 44—6 om. S m. pr. 44 *ἐπήλυθε* C 53 *Σιμόεντα* Renner — *θέων* CS: *θεῶν* AD Ar., cf. Ω 74.

ὣc τοὺc ἀμφοτέρουc μάκαρεc θεοὶ ὀτρύναντεc 54
cύμβαλον, ἐν δ' αὐτοῖc ἔριδα Fρήγνυντο βαρεῖαν. 55
δFεινὸν δὲ βρόντηcε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ ἔνερθε Ποcειδάων ἐτίναξεν
γαῖαν ἀπειρεcίην ὀρέων τ' αἰπεινὰ κάρηνα.
πάντεc δ' ἐccείοντο πόδεc πολυπίδακοc Ἴδηc
καὶ κορυφαί, Τρώων τε πόλιc καὶ νῆεc Ἀχαιῶν.
ἔδFειcεν δ' ὑπένερθε Fάναξ ἐνέρων Ἀιδωνεύc,
δFείcαc δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή Fοι ὕπερθεν
γαῖαν ἀναFρήξειε Ποcειδάων ἐνοcίχθων,
Fοικία δὲ θνητοῖcι καὶ ἀθανάτοιcι φανείη
cμερδαλέ' ἠερόεντα, τά τε cτυγέουcι θεοί περ.
τόccοc ἄρα κτύποc ὦρτο θεῶν ἔριδι ξυνιόντων.
ἦ τοι μὲν γὰρ ἔσαντα Ποσειδάωνος ἄνακτος
ἵστατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα,
ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινή,
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο·
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς,
ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.

ὣc οἱ μὲν θεοὶ ἄντα θεῶν ἴcαν· αὐτὰρ Ἀχιλλεύc
Ἕκτοροc ἄντα μάλιcτα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιcτά Fε θυμὸc ἀνώγει
αἵματοc ἆcαι Ἄρηα ταλαύρινον πολεμιcτήν.
Αἰνείαν δ' ἰθὺc λαοccόοc ὦρcεν Ἀπόλλων

56 cf. Θ 132—3 60^b = Φ 390 66 cf. Hes. th. 705 70^b = Π 183 73^b = Φ 329 76^b = Λ 537 78 = E 289.

54 *ὀτρύναντες* CD: *ὀτρύναντες* supra *α* scripto *ο* A 57 *νέρθε* S Ar. 59 *πολυπιδάκου* D et *γρ.* schol. A 60 *πόλεις* A in textu 62 *ἆλτο*: *ὦρτο* edit. Massil. 64 *φανείη* C *φανήῃ* A *φανήῃ* D 65 *εὐρώεντα* codd. *ἠερόεντα* coni. Nauck 67—74 damnavit Heyne, etiam 56—66 in suspicionem vocavit Kammer 67 *Ποσειδάωνι ἄνακτι* Bentley, in recentissimis additamentis, quale hoc est, nulla fuisse videtur vis digammi 68 *ἰά*: *βέλεα* Bentley, *ἰοὺς πτερόεντας* Bothe 72 *σωκὸς* Tyrannio 75—352 a poeta inficeto Iliadi iam perfectae additos esse demonstravit Kammer, Zur hom. Frage II 41 sqq.; a quo viro Hentzius Maur. Schmidtii sententiam secutus ita discessit, ut versus Υ 79—156 et 292—320 et 330—41 vetustiori carmini de pugna Aeneae et Achillis ab consarcinatore Iliadis praetextos et intertextos esse statueret; confer prol. p. 27 et 54 et quae supra ad initium huius libri disputavimus 77 *ἕ* C Ar.: *γε* AD.

ἀντία Πηλεΐωνος, ἐνῆκε δέ Ϝοι μένος ἠΰ· 34
υἱέι δὲ Πριάμοιο Λυκάονι Ϝείcατο φωνήν.
τῷ μιν Ϝειcάμενος προcέφη Διὸς υἱὸς Ἀπόλλων·
„Αἰνεία Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί,
ἃς Τρώων βαcιλεῦcιν ὑπίcχεο Ϝοινοποτάζων,
Πηλεΐδεω Ἀχιλῆος ἐναντίβιον πολεμίξειν;“
τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προcέϜειπεν·
„Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις
ἀντία Πηλεΐωνος ὑπερθύμοιο μάχεcθαι;
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
cτήcομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβηcεν
ἐξ Ἴδης, ὅτε βουcὶν ἐπήλυθεν ἡμετέρηcιν,
πέρcε δὲ Λυρνηccὸν καὶ Πήδαcον· αὐτὰρ ἐμὲ Ζεύς
εἰρύcαθ', ὅς μοι ἐπῶρcε μένος λαιψηρά τε γοῦνα.
ἦ κ' ἐδάμην ὑπὸ χερcὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
ἥ Ϝοι πρόcθεν ἰοῦcα τίθει φάος ἠδ' ἐκέλευεν
ἔγχεϊ χαλκείῳ Λέλεγας καὶ Τρῶας ἐναίρειν.
τῷ οὐκ ἔcτ' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεcθαι·
αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.
καὶ δ' ἄλλως τοῦ γ' ἰθὺ βέλος πέτετ', οὐδ' ἀπολήγει
πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν. εἰ δὲ θεός περ
Ϝῖcον τείνειεν πολέμου τέλος, οὔ κε μάλα ῥέα
νικήcει', οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι.“
τὸν δ' αὖτε προcέϜειπε Ϝάναξ Διὸς υἱὸς Ἀπόλλων·
‚ἥρως, ἀλλ' ἄγε καὶ cὺ θεοῖc αἰειγενέτηcιν
εὔχεο· καὶ δὲ cέ φαcι Διὸς κούρης Ἀφροδίτης
ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐcτίν·
ἡ μὲν γὰρ Διός ἐcθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ cε πάμπαν
λευγαλέοιcι Ϝέπεccιν ἀποτρεπέτω καὶ ἀρειῇ.“
ὣς Ϝειπὼν ἔμπνευcε μένος μέγα ποιμένι λαῶν,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.

82 = *Π* 720 83 = *E* 180 et *N* 219 83—5 cf. *Θ* 229—33 87 cf. *ϑ* 153 93 = *X* 204 94 cf. *B* 860 96^a = *Υ* 152 98 = *E* 603 104^b = Z 527 106—7 cf. *Φ* 190 108—9 = *Φ* 338—9 110 = *O* 262 111 = *Δ* 495.

82 *ἐεισάμενος* codd., cf. prol. p. 165 84 *ἃς*: *τὰς* S — *ὑπίσχεο* ACD Ar.: *ὑπέσχεο* S 85 *πολεμίξειν* La Roche: *πολεμίζειν* codd. 93 *ἐνῶρσε* Townl. 98 om. D — *πάρ' ἕεις* Nauck 99 *τοῦ γ'*: *τοῦδ'* C — *ἰθὺ* D et γρ. schol. A: *ἰθὺς* ACS 100 *διελθέμεν* DS et γρ. schol. A: *διελθεῖν* AC 101 *οὔ κε* AC: *οὔ με* DS 102 *νικήσει* codd. 109 *λευγαλέοις. ἐπέεσσιν* codd.

οὐδ' ἔλαθ' Ἀγχίcαο πάιc λευκώλενον Ἥρην 34
ἀντία Πηλεΐωνος ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
ἡ δ' ἄμυδις cτήcαcα θεοὺς μετὰ μῦθον ἔϜειπεν·
„φράζεcθον δὴ cφῶϊ, Ποcείδαον καὶ Ἀθήνη,
ἐν φρεcὶν ὑμετέρηcιν, ὅπως ἔcται τάδε Ϝέργα.
Αἰνείας ὅδ' ἔβη κεκορυθμένος αἴθοπι χαλκῷ
ἀντία Πηλεΐωνος, ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
ἀλλ' ἄγεθ' ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίccω
αὐτόθεν· ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆι
παρcταίη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
δευέcθω, ἵνα Ϝειδῇ ὅ μιν φιλέουcιν ἄριcτοι
ἀθανάτων, οἳ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάρος περ
Τρωcὶν ἀμύνουcιν πόλεμον καὶ δηιοτῆτα.
πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντες
τῆcδε μάχης, ἵνα μή τι μετὰ Τρώεccι πάθηcιν
cήμερον· ὕcτερον αὖτε τὰ πείcεται, ἅccα Ϝοι Αἶcα
γινομένῳ ἐπένηcε λίνῳ, ὅτε μιν τέκε μήτηρ.
εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκ πεύcεται ὀμφῆς,
δϜείcετ' ἔπειθ', ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ
ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεcθαι ἐναργεῖς.“
τὴν δ' ἠμείβετ' ἔπειτα Ποcειδάων ἐνοcίχθων·
„Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί cε χρή.
οὐκ ἂν ἔγωγ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάccαι·
[ἡμέας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν·]
ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεcθα κιόντες
ἐκ πάτου ἐς cκοπιήν, πόλεμος δ' ἄνδρεccι μελήcει.
εἰ δέ κ' Ἄρης ἄρχηcι μάχης ἢ Φοῖβος Ἀπόλλων,
ἢ Ἀχιλῆ' ἴcχωcι καὶ οὐκ εἰῶcι μάχεcθαι,
αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται
φυλόπιδος· μάλα δ' ὦκα διακρινθέντας ὀίω
ἂψ ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων,
ἡμετέρης ὑπὸ χερcὶν ἀναγκαίηφι δαμέντας.“

113 = *Υ* 88 et *Δ* 251 116^b = *Δ* 14 117^b = *Δ* 495 121 cf. *O* 216 124^b = *H* 29 127—8 = *η* 197—8 128 = *Ω* 210 131^b = *π* 161 132 = *N* 231 134 = *Θ* 210 et *Φ* 394. *Δ* 8 135 = *Θ* 211 137^b = Z 492.

112—55 spurios ducit Nauck 114 *ἦ* Zen. — *καλέσασα* codd. Zen.: *στήσασα* Ar. — *μετὰ μῦθον ἔειπεν*: *ῥεῖα ζώοντες* Zen. 119 *ἀποτροπόωμεν* Cant. 125—8 *ἀθετοῦνται* schol. A, at vide Kammer, Zur hom. Frage II 50 128 *γεινομένῳ* codd. *γιγνομένῳ* Bekker 135 om. CD, habent AS 138 *ἄρχῃσι* Zen. et A in marg.: *ἄρχωσι* A in textu et CDS et Ar. — *ἢ*: *ἰδὲ* Cant. 139 damnat Heyne 140—4 damnat Düntzer 140 *παραυτόφι* AD *παραυτόθι* C, cf. *Ψ* 147 — γρ. *ὄρηται* Eust. 143 *ἀναγκαίηφι* schol. A: *ἀνάγκῃ ἶφι* ACDS.

ὣς ἄρα φωνήςας ἡγήςατο Κυανοχαίτης 34
τεῖχος ἐς ἀμφίχυτον Ἡρακλεϝέος θείοιο
ὑψηλόν, τό ῥά ϝοι Τρῶες καὶ Παλλὰς Ἀθήνη
ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέϝαιτο,
ὁππότε μιν ςεύαιτο ἀπ' ἠιόνος πεδίονδε.
ἔνθα Ποςειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,
ἀμφὶ δ' ἄρ' ἄϝρηκτον νεφέλην ὤμοιςι ϝέςαντο.
οἳ δ' ἑτέρωςε καθῖζον ἐπ' ὀφρύςι Καλλικολώνης
ἀμφὶ ςέ, ἤιε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
ὣς οἳ μὲν ϝεκάτερθε καθείατο μητιόωντες
βουλάς· ἀρχέμεναι δὲ δυςηλεγέος πολέμοιο
ὤκνεον ἀμφότεροι, Ζεὺς δ' ἥμενος ὕψι κέλευεν.
τῶν δ' ἅπαν ἐπλήςθη πεδίον, καὶ λάμπετο χαλκῷ,
ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεςςιν
ὀρνυμένων ἄμυδις. δύο δ' ἀνέρες ἔξοχ' ἄριςτοι
ἐς μέςον ἀμφοτέρων ςυνίτην μεμαῶτε μάχεςθαι,
Αἰνείας τ' Ἀγχιςιάδης καὶ δῖος Ἀχιλλεύς.
Αἰνείας δὲ πρῶτος ἀπειλήςας ἐβεβήκει,
νευςτάζων κόρυθι βριαρῇ, ἀτὰρ ἀςπίδα θοῦριν
πρόςθεν ἔχε ςτέρνοιο, τίναςςε δὲ χάλκεον ἔγχος.
Πηλεΐδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὥς
ςίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάαςιν
ἀγρόμενοι, πᾶς δῆμος· ὃ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηιθόων αἰζηῶν
δουρὶ βάλῃ, ἐϝάλη τε χανών, περί τ' ἀφρὸς ὀδόντας
γίνεται, ἐν δέ τέ ϝοι κραδίῃ ςτένει ἄλκιμον ἦτορ,
οὐρῇ δὲ πλευράς τε καὶ ἰςχία ἀμφοτέρωθεν
μαςτίεται, ἑὲ δ' αὐτὸν ἐποτρύνει μαχέςαςθαι,
γλαυκιόων δ' ἰθὺς φέρεται μένει, ἤν τινα πέφνῃ
ἀνδρῶν ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ.
ὣς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο.
οἳ δ' ὅτε δὴ ςχεδὸν ἦςαν ἐπ' ἀλλήλοιςιν ἰόντες,
τὸν πρότερος προςέϝειπε ποδάρκης δῖος Ἀχιλλεύς·

144ᵃ = *M* 251 155 cf. *π* 264 158–60 cf. *N* 499–500 159 = Z 120 160 = *P* 754 et *Λ* 7 164 cf. *Ω* 572. *Λ* 129 167ᵇ = *O* 315 170 cf. Hes. scut. 430–1 171ᵇ = *P* 178 173ᵇ = *P* 471 176 = *Γ* 15. Z 121 177 = Φ 149. Z 122.

145 *Ἡρακλῆος* codd. 147 *ἀλέαιτο* A *ἀλέατο* C *ἀλέοιτο* D 153 *μέν ῥ'* codd. 155 *ὤκνεον: γρ. ὄκνεον* schol. A 156 *λάμπετο* Ar.: *ἐλάμπετο* ACDS 166 *πρῶτον μὲν ἀτίζων: κρειῶν ἐρατίζων* Lips., sicuti legitur *P* 660 169 *ἄλκιμον: ὄβριμον* S 170 *γρ. ἀμφοτέρωσε* schol. A.

„Αἰνεία, τί ςὺ τόςςον ὁμίλου πολλὸν ἐπελθὼν 34
ἔςτης; ἦ ςέ γε θυμὸς ἐμοὶ μαχέςαςθαι ἄνωγεν
ϝελπόμενον Τρώεςςι ϝανάξειν ἱπποδάμοιςιν
τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξῃς,
οὔ τοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήςει·
εἰςὶν γάρ ϝοι παῖδες, ὃ δ' ἔμπεδος οὐδ' ἀεςίφρων.
ἦ νύ τί τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων,
καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ ς' ἔολπα τὸ ῥέξειν.
ἤδη μὲν ςέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆςαι.
ἦ οὐ μέμνῃ ὅτε πέρ ςε βοῶν ἄπο, μοῦνον ἐόντα,
ςεῦα κατ' Ἰδαίων ὀρέων ταχέεςςι πόδεςςιν
καρπαλίμως; τότε δ' οὔ τι μετατροπαλίζεο φεύγων.
ἔνθεν δ' ἐς Λυρνηςςὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τήν
πέρςα μεθορμηθεὶς ςὺν Ἀθήνῃ καὶ Διὶ πατρί,
ληιάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
ἦγον· ἀτὰρ ςὲ Ζεὺς ἐρρύςςατο καὶ θεοὶ ἄλλοι.
ἀλλ' οὐ νῦν ςε ῥύεςθαι ὀίομαι, ὡς ἐνὶ θυμῷ
βάλλεαι· ἀλλά ς' ἔγωγ' ἀναχωρήςαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵςτας' ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω."
τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο φώνηςέν τε·
„Πηλεΐδη, μὴ δή με ϝέπεςςί γε νηπύτιον ὥς
ϝέλπεο δειδίξεςθαι, ἐπεὶ ςάφα ϝοῖδα καὶ αὐτός
ἠμὲν κερτομίας ἠδ' αἴςυλα μυθήςαςθαι.
ϝίδμεν δ' ἀλλήλων γενεήν, ϝίδμεν δὲ τοκῆας,
πρόκλυτ' ἀκούοντες ϝέπεα θνητῶν ἀνθρώπων·
ὄψει δ' οὔτ' ἄρ πω ςὺ ἐμοὺς ϝίδες οὔτ' ἄρ' ἐγὼ ςούς.
φαςὶ ςὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
μητρὸς δ' ἐκ Θέτιδος καλλιπλοκάμου ἁλοςύδνης·
αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίςαο
εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐςτ' Ἀφροδίτη.
τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύςονται

184–5 = Z 194–5 188ᵃ = *O* 18 193 = *Π* 831 196–8 = *P* 30–2 199 = 86 200–2 = 431–3 208–9 = *E* 247–8.

178 fort. *ὁμίλου πρόσθεν — γρ. ἀπελθὼν* A 179 *ἀνώγει* codd., cf. prol. p. 114 180–6 *ἀθετοῦνται* schol. A 185 *καλὸν* D et *γρ.* A: *ἐσθλὸν* AC, cf. Z 195 186 *δὲ ϝέϝολπά σε ῥέξειν* Hoffmann 187 *φοβῆσαι* D: *φόβησα* AC, cf. Z 195 188 *μέμνῃ ὅτε* codd., cf. prol. § 109 — *ἄπο: ἔπι* Aristophanes et Rhianus cum edit. Chia 190 *μετετροπαλίζεο* CD 194 *ἐρρύσατο* codd., cf. *E* 344 195–8 *ἀθετοῦνται* schol. A 195 *νῦν ἐρύεσθαι* Ar. 200 *μ' ἐπέεσσι* codd. 201 *γρ. δειδίξασθαι* A 205–9 *ἀθετοῦνται* schol. A 205 *ὄψι δ' οὔτ' ἄρα πω σύ γ' ἐμοὺς* coni. Menrad 207 *μητρὸς δ'* D: *μητρός τ'* AC 210 *ἕταροι* CD

cήμερον· οὐ γάρ φημι Fέπεccί γε νηπυτίοιcιν 34
ὧδε διακρινθέντε μάχης ἐξαπονέεcθαι.
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐὺ Ϝειδῇς
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν·
Δάρδανον ἆρ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς,
κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ἴλιος ἱρή
ἐν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρείας Ϝοίκευν πολυπίδακος Ἴδης.
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῇσιν.
τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ·
αἳ δ' ὑποκυσάμεναι ἔτεκον δυοκαίδεκα πώλους.
αἳ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων·
ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
ἄκρον ἐπὶ Ϝρηγμῖνα ἁλὸς πολιοῖο θέεσκον.
Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσι Ϝάνακτα·
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ἶλός τ' Ἀσσάρακός τε καὶ ἀντίθεος Γανυμήδης,
ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρέψαντο θεοὶ Διὶ Ϝοινοχοεύειν
κάλλεος εἵνεκα Ϝοῖο, ἵν' ἀθανάτοισι μετείη.
Ἶλος δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα,
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Λάμπον τε Κλυτίον θ' Ἱκετάονά τ' ὄζον Ἄρηος.
Ἀσσάρακος δὲ Κάπυν, ὃ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα·
αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δ' ἔτεχ' Ἕκτορα δῖον.
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.
Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,

212 = *Η* 306 et *Π* 252   213—4 = Ζ 150—1 217^b = *Σ* 490 226^b = *Θ* 486   227 = Hes. fr. 221 228^b = *Β* 159   231 = *Ξ* 115   235 = ο 251   238 = *Γ* 147   241 = Ζ 211.

211 *φήμ' ἐπέεσσι* codd.   213—41 ab alio poeta atque 203—12 factos docet Friedlaender an. hom. p. 474   215 *γρ. ἆρ* A: *αὖ* ACD   218 *ᾤκεον* codd. — *γρ. πολυπιδάκου* A   224 *γρ. ἵππῳ δ' εἰσάμενος ἐμίγη φιλότητι καὶ εὐνῇ* schol. A, unde totum versum suspectum habeo — post 224 C m. sec. addit *ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσιν* (= Hes. theog. 279)   225 *ὑποκυσσάμενοι* C   226 *μὲν: γρ. δὴ* A   228 *ἄλλοτε δὲ* Ar.   229 *ῥηγμῖνα* Ahrens: *ῥηγμῖνος* codd.   234 *καὶ: γρ. μὲν* schol. A — *ἀνηρέψαντο* Fick: *ἀνηρείψαντο* codd.   235 damnat Gemoll Herm. XVIII 81   239 *Ἀγχίσιν* A   242—3 damnat Friedlaender l. l.

ὅππωc κεν ἐθέληcιν· ὃ γὰρ κάρτιcτοc ἁπάντων. 34
ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς,
ἑσταότ' ἐν μέσσῃ ὑμίνῃ δηιοτῆτος.
ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
πολλὰ μάλ'· οὐδ' ἂν νηῦς ἑκατόζυγος ἄχθος ἄροιτο.
στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι
παντοῖοι, Ϝεπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
ὁπποῖόν κ' εἴπησθα Ϝέπος, τοῖόν κ' ἐπακούσῃς.
ἀλλὰ τίη ἔριδαc καὶ νείκεα νῶιν ἀνάγκη
νεικεῖν ἀλλήλοιcιν ἐναντίον, ὥc τε γυναῖκαc;
αἵ τε χολωcάμεναι ἔριδοc πέρι θυμοβόροιο
νεικεῦc' ἀλλήληcι μέcην ἐc ἄγυιαν ἰοῦcαι,
πολλά τ' ἐόντα καὶ οὐκί· χόλοc δέ τε καὶ τὰ κελεύει.
ἀλκῆc δ' οὔ με Fέπεccιν ἀποτρέψειc μεμαῶτα,
πρὶν χαλκῷ μαχέcαcθαι ἐναντίον. ἀλλ' ἄγε θᾶccον
γευcόμεθ' ἀλλήλων χαλκήρεcιν ἐγχείηcιν."

ἦ ῥα, καὶ ἐν δFεινῷ cάκεϊ ἔλαc' ὄβριμον ἔγχοc
cμερδαλέῳ· μέγα δ' ἀμφὶ cάκοc μύκε δουρὸc ἀκωκῇ.
Πηλεΐδηc δὲ cάκοc μὲν ἀπὸ Fέο χειρὶ παχείῃ
ἔcχετο ταρβήcαc· φάτο γὰρ δολιχόcκιον ἔγχοc
ῥέα διελεύcεcθαι μεγαλήτοροc Αἰνείαο,
νήπιοc, οὐδ' ἐνόηcε κατὰ φρένα καὶ κατὰ θυμόν,
ὡc οὐ ῥηίδι' ἐcτὶ θεῶν ἐρικυδέα δῶρα
ἀνδράcι γε θνητοῖcι δαμήμεναι οὐδ' ὑποFείκειν.
οὐδὲ τότ' Αἰνείαο δαΐφρονοc ὄβριμον ἔγχοc

244 = *Ν* 292 246^b = *Α* 291   249 cf. Hes. op. 403 et hymn. Ap. Del. 29   250 cf. Hes. op. 721 253^b = *Η* 210 258^b = *Σ* 534   259 cf. *Γ* 355   263 = *Ν* 144 et *Υ* 175   264 cf. *Ε* 406. *Σ* 15 267^b = *Λ* 456.

243 *κάρτιστος* Ar. teste Didymo: *κράτιστος* D *κ ὄχ' ἄριστος* AC   250 damnat Düntzer — *κ' εἴπησθα* codd.: *κ'* deleri iussit Bentley, quod in recenti additamento comprobare veritus sum — *ἐπακούσῃς* Plut. vit. Hom. c. 173 et Eust.: *ἐπακούσαις* codd., quod ex Hesiodo illatum videtur.   251—5 *ἀθετοῦνται* schol. A, alius poetae atque versus 244—50 esse docet Friedlaender l. l., 248—50 expunxit Bekker, 244—55 damnat Hentze   251 *νείκεα: γρ. ὀνείδεα* schol. A   252 *γυναῖκες* Vrat., quod defendi posse aliis exemplis docet Bekker Hom. Bl. I 265   255 *γρ. πολλά τ' ἐόντα* variam lectionem fuisse Didymus testatur, quam eandem Aristarchus probasse videtur: *πολλὰ τά τε* A, *πόλλ' ἐτεά τε* D et C ex corr., quam lectionem deteriorum editionum fuisse in schol. A et Crameri anecd. Par. III 291 scriptum est — *καὶ οὐκὶ: γρ. τὰ δ' οὐκὶ* schol. A, vide W. C. Kayser Phil. XVII 713   256 *μ' ἐπέεσσιν* codd. — *ἀποτρέψεις* D: *μετατρέψεις* AC *γρ. ἀποστρέψεις* schol. A   259 *σάκεϊ ἔλασ'* Ar.   261 *ἀπὸ οὗ* Zen.   263 *ῥέα διελεύσεσθαι* Ar.: *ῥεῖα δ' ἐλεύσεσθαι* ACD   265 *δῶρα: γρ. ἔργα* schol. A.

Fρῆξε cάκος· χρυcὸc γὰρ ἐρύκακε, δῶρα θεοῖο.
ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἱ δ' ἄρ' ἔτι τρεῖς
ἦσαν, ἐπεὶ πέντε πτύχας ἤλασε Κυλλοποδίων,
τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
τὴν δὲ μίαν χρυσέην, τῇ ῥ' ἔσχετο μείλινον ἔγχος.
δεύτερος αὖτ' Ἀχιλεὺc προΐει δολιχόcκιον ἔγχος,
καὶ βάλεν Αἰνείαο κατ' ἀcπίδα πάντοc' ἐFίcην,
ἄντυγ' ὕπο πρώτην, ᾗ λεπτότατος θέFε χαλκόc,
λεπτοτάτη δ' ἐπέην Fρινὸc βοόc· ἣ δὲ διαπρό
Πηλιὰc ἤιξεν μελίη, λάκε δ' ἀcπὶc ὑπ' αὐτῆc.
Αἰνείαc δ' ἐFάλη καὶ ἀπὸ Fέθεν ἀcπίδ' ἀνέcχεν
δFείcαc· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
ἔcτη Fιεμένη, διὰ δ' ἀμφοτέρουc ἕλε κύκλουc
ἀcπίδοc ἀμφιβρότηc. ὃ δ' ἀλευάμενοc δόρυ μακρόν
ἔcτη — κὰδ δ' ἀχλὺc χύτο μυρίη ὀφθαλμοῖcιν —
ταρβήcαc ὅ Fοι ἄγχι πάγη βέλοc. αὐτὰρ Ἀχιλλεύc
ἐμμεμαὼc ἐπόρουcε, Fερυccάμενοc ξίφοc ὀξύ,
cμερδαλέα Fιάχων. ὃ δὲ χερμάδιον λάβε χειρί
Αἰνείαc, μέγα Fέργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰc'· ὃ δέ μιν ῥέα πάλλε καὶ οἶοc.
ἔνθα κεν Αἰνείαc μὲν ἐπεccύμενον βάλε πέτρῳ
ἢ κόρυθ' ἠὲ cάκοc, τό Fοι ἤρκεcε λυγρὸν ὄλεθρον,
τὸν δέ κε Πηλεΐδηc cχεδὸν ἄορι θυμὸν ἀπεύρα,
εἰ μὴ ἄρ' ὀξὺ νόηcε Ποcειδάων ἐνοcίχθων.
αὐτίκα δ' ἀθανάτοιcι θεοῖc μετὰ μῦθον ἔFειπεν·
„ὢ πόποι, ἦ μοι ἄχοc μεγαλήτοροc Αἰνείαο,
ὃc τάχα Πηλεΐωνι δαμεὶc Ἄιδόcδε κάτειcιν,
πειθόμενοc μύθοιcιν Ἀπόλλωνοc Fεκάτοιο,
νήπιοc, οὐδέ τί Fοι χραιcμήcει λυγρὸν ὄλεθρον.
ἀλλὰ τίη νῦν οὗτοc ἀναίτιοc ἄλγεα πάcχει,
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαριcμένα δ' αἰεί

268 = *Φ* 165. 594 270 cf. *Σ* 481 273—4 = *Γ* 356—7 279—80 = *Φ* 69—70 284 = *Υ* 442 et *M* 190 285—7 = *E* 302—4 288^{b} = *Π* 411 289^{b} = *Z* 16 290^{b} = *Π* 828 291 = *Γ* 374 et *H* 445 295^{b} = *H* 83 296 = *B* 873.

269—272 *ἀθετοῦνται* schol. A 269 *ἔλασσε*: *γρ.* *θλάσσε* schol. B et Eust. 272 *χρυσῆν* codd. — *μείλινον* AC: *χάλκεον* D, ut Aristot. poet. p. 1461^{a} 34 273—4 *Ἀχιλεὺς μελίην ἰθυπτίωνα* (corr. *μελίῃ ἰθυπτίωνι*) *ἀσπίδα νύξ' εὔχαλκον ἀμύμονος Αἰνείαο* Zen. 282 *ἀχλὺς* Bentley collatis *Υ* 321. *E* 696. *Π* 344: *ἄχος οἱ* codd. *ἄρ' ἄχος* Hermannus ad Orph. 778 — *μυρίη* scripsi Bentleii emendatione *ἀχλύς* recepta: *μυρίον* codd., quod Bentley defendebat collato *Φ* 320 286 *ὃ κ' οὐ δύω ἄνδρε* coni. Nauck 290 *ἀπηύρα* codd. 292 *αὐτίκα μῦθον ἔϝειπε μετ' ἀθανάτοισι θεοῖσι* coni. Graf, cf. prol. § 85 298 *ἀχέων*: *ἀτέων* Bentley.

δῶρα θεοῖcι δίδωcι, τοὶ οὐρανὸν εὐρὺν ἔχουcιν;
ἀλλ' ἄγεθ' ἡμεῖc πέρ μιν ὑπὲκ θανάτου ἀγάγωμεν,
μή πωc καὶ Κρονίδηc κεχολώcεται, αἴ κεν Ἀχιλλεύc
τόνδε κατακτείνῃ. μόριμον δέ Fοί ἐcτ' ἀλέFαcθαι,
ὄφρα μὴ ἄcπερμοc γενεὴ καὶ ἄφαντοc ὄληται
Δαρδάνου, ὃν Κρονίδηc περὶ πάντων φίλατο παίδων,
οἳ Fέθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.
ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεccι Fανάξει
καὶ παίδων παῖδεc, τοί κεν μετόπιcθε γένωνται.“
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπιc πότνια Ἥρη·
„Ἐννοcίγαι', αὐτὸc cὺ μετὰ φρεcὶ cῇcι νόηcον
Αἰνείαν, ἤ κέν μιν ἐρύccεαι ἤ κεν ἐάcειc
Πηλεΐδῃ Ἀχιλῆι δαμήμεναι ἐcθλὸν ἐόντα.
ἦ τοι μὲν γὰρ νῶι πολῦc ὠμόccαμεν ὅρκουc
πᾶcι μετ' ἀθανάτοιcιν, ἐγὼ καὶ Παλλὰc Ἀθήνη,
μή ποτ' ἐπὶ Τρώεccιν ἀλεξήcειν κακὸν ἦμαρ,
μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶcα δάηται
δαιομένη, δαίωcι δ' ἀρήιοι υἷεc Ἀχαιῶν.“
αὐτὰρ ἐπεὶ τό γ' ἄκουcε Ποcειδάων ἐνοcίχθων,
βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,
ἷξε δ' ὅθ' Αἰνείαc ἠδ' ὁ κλυτὸc ἦεν Ἀχιλλεύc.
αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέFεν ἀχλύν,
Πηλεΐδῃ Ἀχιλῆι· ὃ δὲ μελίην ἐύχαλκον
ἀcπίδοc ἐκFέρυcεν μεγαλήτοροc Αἰνείαο.
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆοc ἔθηκεν,
Αἰνείαν δ' ἔcceυεν ἀπὸ χθονὸc ὑψόc' ἀείραc.
πολλὰc δὲ cτίχαc ἡρώων, πολλὰc δὲ καὶ ἵππων
Αἰνείαc ὑπερᾶλτο θεοῦ ἀπὸ χειρὸc ὀρούcαc,
ἷξε δ' ἐπ' ἐcχατιὴν πολυάικοc πολέμοιο,
ἔνθα τε Καύκωνεc πόλεμον μέτα θωρήccοντο.
τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποcειδάων ἐνοcίχθων,

299^{b} = *Φ* 267. *α* 67 .. 309 = *Λ* 551 315—7 = *Φ* 374—6 318 = *Φ* 377. *Ψ* 161. *ν* 159 319 = *E* 167 321^{b} = *E* 696 324 = *Ω* 510 325^{b} = *K* 465 328^{b} = *Λ* 165.

301 *αἴ* AC: *εἴ* D 302 *μόριμον* Eust.: *μόρσιμον* ACD 303 *γενεὴ δμηθέντος ὄληται* Ar., *γενεὴ μετόπισθεν ὄληται* Maximus Tyr. diss. 26, 9 306 *ἤχθαιρε* Aristoph., cf. *P* 270 307 *μεταγράφουσί τινες* '*Αἰνείω γενεὴ πάντεσσιν ἀνάξει*' schol. A 308 *γένωνται* ACD: *λίπωνται* S ut *αἱ διὰ τῶν πόλεων* 311 *μιν*: fort. *ϝε* — *ἐρύσεαι* C — *ἐάσεις* AD et *γρ.* C: *ἐάσῃς* C 312 om. ADS, add. C man. sec. 313 *πολεῖς* codd. *πολέας* Bekker, cf. prol. p. 144 316 et 317 om. S 317 *γρ.* *καιομένη καίωσι* A, cf. *Φ* 376 320 *ἠδ' ὁ*: *ἠδὲ* Lips. 322—4 *ἀθετοῦνται* schol. A 329 *ἔνθα τε* A: *ἔνθα δὲ* CDS.

καί μιν φωνήϲαϲ Ϝέπεα πτερόεντα προϲηύδα· 34
„Αἰνεία, τίϲ ϲ᾽ ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλεΐωνοϲ ὑπερθύμοιο μάχεϲθαι,
ὃϲ ϲεῦ ἅμα κρείϲϲων καὶ φίλτεροϲ ἀθανάτοιϲιν;
ἀλλ᾽ ἀναχωρῆϲαι, ὅτε κεν ξυμβλήεαι αὐτῷ,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄιδοϲ εἰϲαφίκηαι.
αὐτὰρ ἐπεί κ᾽ Ἀχιλεὺϲ θάνατον καὶ πότμον ἐπίϲπῃ,
θαρϲήϲαϲ δὴ ἔπειτα μετὰ πρώτοιϲι μάχεϲθαι·
οὐ μὲν γάρ τίϲ ϲ᾽ ἄλλοϲ Ἀχαιῶν ἐξεναρίξει.“
    ὣϲ Ϝειπὼν λίπεν αὐτόθ᾽, ἐπεὶ διεπέφραδε πάντα.
αἶψα δ᾽ ἔπειτ᾽ Ἀχιλῆοϲ ἀπ᾽ ὀφθαλμῶν ϲκέδαϲ᾽ ἀχλὺν
θεϲπεϲίην· ὃ δ᾽ ἔπειτα μέγ᾽ ἔκϜιδεν ὀφθαλμοῖϲιν,
ὀχθήϲαϲ δ᾽ ἄρα Ϝεῖπε πρὸϲ ὃν μεγαλήτορα θυμόν·
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖϲιν ὁρῶμαι·
ἔγχοϲ μὲν τόδε κεῖται ἐπὶ χθονόϲ, οὐδέ τι φῶτα
λεύϲϲω, τῷ ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείαϲ φίλοϲ ἀθανάτοιϲι θεοῖϲιν
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτωϲ εὐχετάαϲθαι.
Ϝερρέτω. οὔ Ϝοι θυμὸϲ ἐμεῦ ἔτι πειρηθῆναι
ἔϲϲεται, ὃϲ καὶ νῦν φύγεν ἄϲμενοϲ ἐκ θανάτοιο.
ἀλλ᾽ ἄγε δὴ Δαναοῖϲι φιλοπτολέμοιϲι κελεύϲαϲ
τῶν ἄλλων Τρώων πειρήϲομαι ἀντίοϲ ἐλθών.“
    ἦ, καὶ ἐπὶ ϲτίχαϲ ἆλτο, κέλευε δὲ φωτὶ Ϝεκάϲτῳ·
„μηκέτι νῦν Τρώων Ϝεκὰϲ ἕϲτατε, δῖοι Ἀχαιοί,
ἀλλ᾽ ἄγ᾽ ἀνὴρ ἄντ᾽ ἀνδρὸϲ ἴτω, μεμάτω δὲ μάχεϲθαι.
ἀργαλέον δέ μοί ἐϲτι, καὶ ἰφθίμῳ περ ἐόντι,
τοϲϲούϲδ᾽ ἀνθρώπουϲ ἐφέπειν καὶ πᾶϲι μάχεϲθαι.
οὐδέ κ᾽ Ἄρηϲ, ὅϲ περ θεὸϲ ἄμβροτοϲ, οὐδέ κ᾽ Ἀθήνη
τοϲϲῆϲδ᾽ ὑϲμίνηϲ ἐφέποι ϲτόμα καὶ πονέοιτο·
ἀλλ᾽ ὅϲϲον μὲν ἐγὼ δύναμαι χερϲίν τε ποϲίν τε
καὶ ϲθένει, οὔ μέ τί φημι μεθηϲέμεν, οὐδ᾽ ἠβαιόν,

331 = *Α* 201   333 = 88 337^{b} = *Β* 359   341 2 cf. *Ο* 668
343 = *Λ* 403   344 = *Ν* 99 346^{b} = *Ε* 436   350 cf. *Τ* 72
352 = *Τ* 70   356 = *Μ* 410.

331 *καί μιν νεικείων* Zen. *τὸν καὶ νεικείων* Rhianus 332 *ἀτέοντα* ACD ut *ἐν πάσαις* invenit Didymus: *χατέοντα* Lips. *γρ. ἀέκητι* C m. sec. 333 *ἀντί᾽ Ἀχιλλῆος πολεμίζειν ἠδὲ μάχεσθαι* CDS et *γρ.* A 335 *κεν* A: *δὴ* CD — *ξυμβλήεαι* Cobet misc. crit. 323: *συμβλήσεαι* A *ξυμβλήσεαι* CD 338 *δὴ ἔπειτα*: *δήπειτα* codd., unde *δὴ ᾽πειτα* Barnes — *πρώτοισι* ACD: *Τρώεσσι* S 343 cf. *Λ* 403 346 *τῷδ᾽ ἐφέηκα* lemma schol. A 353 ante certamen Aeneae et Achillis Iliadi insertum sic fere audivisse videtur: *Πηλεΐδης δ᾽ ἑτέροισιν ἐκέκλετο μακρὸν ἀΰσας* (*αὐτὰρ ὃ ἐς στίχας ἆλτο* refingebat Kammer), nisi vetus carmen a versu *Υ* 381 ordiri statuere malis 359 *τόσσης* S 361 *μ᾽ ἔτι* ACD.

ἀλλὰ μάλα ϲτιχὸϲ εἶμι διαμπερέϲ, οὐδέ τιν᾽ οἴω 34
Τρώων χαιρήϲειν, ὅϲ τιϲ ϲχεδὸν ἔγχεοϲ ἔλθῃ.“
    ὣϲ φάτ᾽ ἐποτρύνων· Τρώεϲϲι δὲ φαίδιμοϲ Ἕκτωρ
κέκλεθ᾽ ὁμοκλήϲαϲ, φάτο δ᾽ ἴμμεναι ἄντ᾽ Ἀχιλῆοϲ·
„Τρῶεϲ ὑπέρθυμοι, μὴ δείδιτε Πηλεΐωνα.
καί κεν ἐγὼ Ϝεπέεϲϲι καὶ ἀθανάτοιϲι μαχοίμην·
ἔγχεϊ δ᾽ ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰϲιν.
οὐδ᾽ Ἀχιλεὺϲ πάντεϲϲι τέλοϲ μύθοιϲ ἐπιθήϲει,
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεϲϲηγὺ κολούει.
τῷ δ᾽ ἐγὼ ἀντίοϲ εἶμι, καὶ εἰ πυρὶ χεῖρε ϜέϜοικεν,
εἰ πυρὶ χεῖρε ϜέϜοικε, μένοϲ δ᾽ αἴθωνι ϲιδήρῳ.“
    ὣϲ φάτ᾽ ἐποτρύνων, οἳ δ᾽ ἀντίοι ἔγχε᾽ ἄειραν
Τρῶεϲ· τῶν δ᾽ ἄμυδιϲ μίχθη μένοϲ, ὦρτο δ᾽ ἀυτή.
καὶ τότ᾽ ἄρ᾽ Ἕκτορα Ϝεῖπε παραϲτὰϲ Φοῖβοϲ Ἀπόλλων·
„Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆι προμάχιζε,
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίϲβοιο δέδεξο,
μή πώϲ ϲ᾽ ἠὲ βάλῃ ἠὲ ϲχεδὸν ἄορι τύψῃ.“
    ὣϲ ἔφαθ᾽, Ἕκτωρ δ᾽ αὖτιϲ ἐδύϲετο οὐλαμὸν ἀνδρῶν
ταρβήϲαϲ, ὅτ᾽ ἄκουϲε θεοῦ ὄπα φωνήϲαντοϲ.

ἐν δ᾽ Ἀχιλεὺς Τρώεσσι θόρε, φρεσὶ Ϝειμένος ἀλκήν, Υ 381
σμερδαλέα Ϝιάχων. πρῶτον δ᾽ ἕλεν Ἰφιτίωνα
ἐσθλὸν Ὀτρυντεΐδην, πολέων ἡγήτορα λαῶν,
ὃν νύμφη τέκε νηὶς Ὀτρυντῆι πτολιπόρθῳ
Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ.
τὸν δ᾽ ἰθὺς μεμαῶτα βάλ᾽ ἔγχεϊ δῖος Ἀχιλλεύς

362 cf. *Τ* 71 364^{a} = *Μ* 442 366^{a} = Ζ 111 369^{b} = *Τ* 107
372 cf. *Χ* 128. *Ψ* 642 380^{b} = *Β* 182 385^{b} = *Π* 437 386^{a} = *Α* 95.

362 fort. *οὔ τιν᾽ ὀίω* 363 *γρ. ἔλθοι* A 365 *ἴμμεναι* Hermannus op. I 242: *ἴμεναι* codd. et Curtius Verb. II 98 *εἴμεναι* Gust. Meyer Gr. Gram. § 591 371 *τῷ* A et C m. pr.: *τοῦ* DC m. sec. S et *γρ.* A, cf. *Υ* 422 371 et 372 *χεῖρε ϜέϜοικε* Cobet misc. crit. 419: *χεῖρας ἔοικε* codd. 373 *ἔγχε᾽ ἄειραν*: *γρ. ἔσταν Ἀχαιῶν* schol. A 379 *ἐδύσετο* AD: *ἐδύσατο* CS 381 *ἐν δ᾽*: *ἔνθ᾽* S, quo recepto sic carminis exordium refingas: *ἔνθ᾽ Ἀχιλεὺς ἐπὶ Τρωσὶ θόρεν*; extrema pars libri inde ab hoc versu veteris Iliadis fuisse videtur, sed in antecedentibus quoque versibus 353—380 rudera veteris carminis latere ut credam, rerum statu versibus 419—422 significato adducor; haec autem pars libri diserte in oratione Priami X 46 respicitur, unde versus 414—5 et 447 et 499—503, quibus nota pravae imitationis et recentis originis inusta est, aut expellendos aut emendandos censuimus. 383 *Ὀτρυντίδην* C 384 *ὃν* codd.: *ἔν τισι τῶν φαύλων ἀντιγράφων τὸν διὰ τοῦ τ* schol. A 385 *γρ. Ὕλης* schol. B.

μέσσην κὰκ κεφαλήν· ἣ δ' ἄνδιχα πᾶσα κεάσθη.
δούπησεν δὲ πεσών, ὃ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς·
„κεῖσαι, Ὀτρυντεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν.
ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοί ἐστ' ἐπὶ λίμνῃ
Γυγαίῃ, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν,
Ὕλλῳ ἐπ' ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι.“
ὣς φάτ' ἐπευχόμενος, τὸν δὲ σκότος ὄσσε κάλυψεν.
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροισι δατεῦντο
πρώτῃ ἐν ὑσμίνῃ· ὃ δ' ἐπ' αὐτῷ Δημολέοντα
ἐσθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱόν,
νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρῄου.
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς
αἰχμὴ ϝιεμένη ϝρῆξ' ὀστέον, ἐγκέφαλος δέ
ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐξαντα,
πρόσθε ϝέθεν φεύγοντα, μετάφρενον οὔτασε δουρί.
αὐτὰρ ὃ θυμὸν ἄϝισθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ϝάνακτα
κούρων ἑλκόντων· γάνυται δέ τε τοῖς Ἐνοσίχθων.
ὣς ἄρα τόν γ' ἐρυγόντα λίπ' ὀστέα θυμὸς ἀγήνωρ·
αὐτὰρ ὃ βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην. τὸν δ' οὔ τι πατὴρ εἴασκε μάχεσθαι,
οὕνεκά ϝοι μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο,
καί ϝοι φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα·
δὴ τότε νηπιέῃσι, ποδῶν ἀρετὴν ἀναφαίνων,
θῦνε διὰ προμάχων, εἷος φίλον ὤλεσε θυμόν.
τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεύς,
νῶτα παραΐσσοντ', ὅθι [ζωστῆρος ὀχῆες
χρύσειοι σύνεχον καὶ] διπλόος ἤντετο θώρηξ·
ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή,

387 = *Π* 412 388 = *Λ* 449 389^{b} = *Λ* 146 393 = *Λ* 43 et *Δ* 461 397—400 = *M* 183—6 401 = *Λ* 423 402 = E 56 406 cf. *Π* 743 412 = *Λ* 342 414—5 = *Δ* 132—3 416^{a} = E 100.

389 *κεῖσ' Ὀτρ.* S 393 *φάτ' ἐπευχόμενος* S: *ἔφατ' εὐχόμενος* ACD 394 *ἐπισσώτροις* C: *ἐπὶ σώτροις* D *ὀπισσώτροις* AS, *ἐπισσώτροισι δατεῦντο* Nauck 395 *γρ. Δηιλέοντα* schol. A 398 *ἀλλὰ διαπρό M* 184 401 *γρ. ἀΐσσοντα* schol. A 414 *γρ. παραΐσσοντα* schol. A: *παραΐσσοντος* ACDS Ar., nos *παραΐσσοντ' ὅθι* eiectis mediis verbis reposuimus.

γνὺξ δ' ἔριπ' οἰμώξας, νεφέλη δέ μιν ἀμφεκάλυψεν
κυανέη, προτὶ ϝοῖ δ' ἔλαβ' ἔντερα χερσὶ λιασθείς.
Ἕκτωρ δ' ὡς ἐνόησε κασίγνητον Πολύδωρον
ἔντερα χερσὶν ἔχοντα λιαζόμενον προτὶ γαίῃ,
κάρ ῥά ϝοι ὀφθαλμῶν κέχυτ' ἀχλύς· οὐδ' ἄρ' ἔτ' ἔτλη
δηθὰ ϝεκὰς στρωφᾶσθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆι
ὀξὺ δόρυ κραδάων, φλογὶ ϝείκελος. αὐτὰρ Ἀχιλλεύς
ὡς ϝίδεν, ὣς ἀνέπαλτο, καὶ εὐχόμενος ϝέπος ηὔδα·
„ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμόν,
ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἂν ἔτι δϝήν
ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας.“
ἦ καὶ ὑπόδρα ϝιδὼν προσεφώνεεν Ἕκτορα δῖον·
„ἆσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι.“
τὸν δ' οὐ ταρβήσας προσέφη κορυθαίολος Ἕκτωρ·
„Πηλεΐδη, μὴ δή με ϝέπεσσί γε νηπύτιον ὥς
ϝέλπεο δειδίξεσθαι, ἐπεὶ σάφα ϝοῖδα καὶ αὐτός
ἠμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.
ϝοῖδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν.“
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ. καὶ τό γ' Ἀθήνη
πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
ϝῆκα μάλα ψύξασα· τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν. αὐτὰρ Ἀχιλλεύς
ἐμμεμαὼς ἐπόρουσε, κατακτάμεναι μενεαίνων,
σμερδαλέα ϝιάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων
ῥεῖα μάλ' ὥς τε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ.

417 = *E* 68 421^{b} = *X* 136 423^{a} = *N* 583 424 cf. *Ξ* 294. *Υ* 16 424^{b} = *P* 537 425 = *P* 564 426^{b} = Z 139 427^{b} = *Λ* 371 429 = Z 143 430 = E 286 431—3 = 200—2 435 = *P* 514 438^{a} = *Γ* 355 442 = *Υ* 284 et *E* 436 443 = E 302 et *Γ* 380 444 = *Γ* 381.

418 *ποτὶ* C 420 *προτὶ* S: *ποτὶ* ACD 421 *κέχυτο χλόος* S 422 *δηθὰ ϝεκὰς* Bentley: *δηρὸν ἑκὰς* codd. — *Ἀχιλῆος* D 424 *γρ. ἴδεν* Eust.: *εἶδ'* codd., cf. *Ξ* 294 426 *ἂν* Ar.: *ἄρ'* ACD 431 *μ' ἐπέεσσι* codd. 432 *δειδίξασθαι* S 434 *οἶδα δ' ὃ δὴ σὺ* Ahrens in Phil. IV 604 440 *ψύξασα* D et *γρ.* C: *ξύσασα* C.

τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεύς **33**
ἔγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα τύψε βαθεῖαν·
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι Ϝῖσος,
δϜεινὰ δ' ὁμοκλήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον. ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσσατο Φοῖβος Ἀπόλλων,
ᾧ μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
εἴ πού τις καὶ ἔμοιγε θεῶν ἐπιτάρροθός ἐστιν.
νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι, ὅν κε κιχείω.“
ὣς Ϝειπὼν Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἄκοντι·
ἤριπε δὲ προπάροιθε ποδῶν. ὃ δὲ τὸν μὲν ἔασεν,
Δημοῦχον δὲ Φιλητορίδην ἠύν. τε μέγαν τε
κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε. τὸν μὲν ἔπειτα
οὐτάζων ξίφεϊ μεγάλῳ ἐξαίνυτο θυμόν·
αὐτὰρ ὃ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος,
ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας.
Τρῶα δ' Ἀλαστορίδην — ὃ μὲν ἀντίος ἤλυθε γούνων,
εἴ πώς Ϝευ πεφίδοιτο, λαβών, καὶ ζωὸν ἀφείη
μηδὲ κατακτείνειεν ὁμηλικίην ἐλεήσας,
νήπιος, οὐδὲ τὸ Ϝείδη, ὃ οὐ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων,
ἀλλὰ μάλ' ἐμμεμαώς· ὃ μὲν ἥπτετο χείρεσι γούνων
Ϝιέμενος λίσσεσθ', ὃ δὲ φασγάνῳ οὖτα καθ' ἧπαρ·
ἐκ δέ Ϝοι ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
κόλπον ἐνέπλησεν· τὸν δὲ σκότος ὄσσε κάλυψεν
θυμοῦ δευόμενον. ὃ δὲ Μούλιον οὖτα παραστάς
δουρὶ κατ' οὖς· εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο

445 = *Ε* 436 et *Λ* 121 447—8 = *Ε* 438—9 449—54 = *Λ* 362—7 456^{a} = *Π* 319 457^{b} = Ζ 8 466 = *γ* 146 471^{b} = 393.

447 om. S et D m. pr., ab aliis omissum esse scholio, falso versui 451 appicto, confirmatur, cf. Wachsmuth Rh. Mus. XVIII 185; fort. *ἐπέσσυτ' ἅμαρτέ τε φωτός* 450 *ἐρύσσατο* A: *ἐρύσατο* CD et *γρ.* A 451 cf. *Υ* 447 454 *γρ. νῦν αὖ τοὺς ἄλλους* A: *νῦν δ' ἄλλους Τρώων* ACDS 464 *εἴ πως εὖ* A quod comprobat La Roche Hom. Unt. p. 144 — *γρ. ἀφῄη* Eust. 466 *ᾔδε'* Cobet misc. crit. 300 467 *τι*: *γρ. τις* et *ἔτι* A in marg. 471 *γρ. ἐνέπρησεν* A 473 *κατ'* S et *γρ.* schol. A: *παρ'* AC, cf. *Λ* 109 — *οὖας· ἄφαρ* Nauck.

αἰχμὴ χαλκείη. ὃ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον **33**
μέσσην κὰκ κεφαλὴν ξίφει ἤλασε κωπήεντι,
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουσι τένοντες
ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρεν
αἰχμῇ χαλκείῃ· ὃ δέ μιν μένε χεῖρα βαρυνθείς,
πρόσθ' ὁρόων θάνατον. ὃ δὲ φασγάνῳ αὐχένα θείνας
τῆλ' αὐτῇ πήληκι κάρη βάλε· μυελὸς αὖτε
σφονδυλίων ἔκπαλθ', ὃ δ' ἐπὶ χθονὶ κεῖτο τανυσθείς.
αὐτὰρ ὃ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεω υἱόν
Ῥίγμον, ὃς ἐκ Θρεΐκης ἐριβώλακος εἰληλούθει·
τὸν βάλε μέσσον ἄκοντι, πάγη δ' ἐν νηδύϊ χαλκός,
ἤριπε δ' ἐξ ὀχέων. ὃ δ' Ἀρηίθοον θεράποντα,
ἂψ ἵππους στρέψαντα, μετάφρενον ὀξέι δουρί
νύξ', ἀπὸ δ' ἅρματος ὦσε· κυκήθησαν δέ Ϝοι ἵπποι.
ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντῃ τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει,
ὣς ὅ γε πάντῃ θῦνε σὺν ἔγχεϊ, δαίμονι Ϝῖσος,
κτεινομένους ἐφέπων· ῥέϜε δ' αἵματι γαῖα μέλαινα.
[ὡς δ' ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους
τριβέμεναι κρῖ λευκὸν ἐυκτιμένῃ ἐν ἀλωῇ,
ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων,
ὣς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων
νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἳ περὶ δίφρον,

474^{a} = *Ρ* 310 475—7 = *Π* 332—4 483^{b} = *Ν* 392 486^{b} = *Δ* 528 487^{a} = *Ε* 47 488 = *Ν* 396 et *Π* 806 494^{b} = *Ο* 715 496^{b} = *Φ* 77 498^{b} = *Π* 375 499—503 = *Λ* 534—7.

478 *τένοντε* D m. pr. 479 *φίλης*: *μέσης* S, cf. *Λ* 252 — *ἔπειρεν*: *ἔλασσεν* S 480 *αἰχμὴ χαλκείη* S 481 *πρόσ' ὁρόων* (an *πρόσσω ὁρῶν*?) Zen. 484 *Πείρεως* Zen. 485 *γρ. Ῥίγμονα* (i. e. *Ῥίγμον'*) schol. V — *Θρῄκης* codd., cf. prol. p. 178 486 *νηδύι* D et *γρ.* A, quod collatis *Ν* 397. *Υ* 413 defendit La Roche: *πνεύμονι* ACS, ut recte legitur *Δ* 528 490 *ἄγγεα* C 495—503 eiciendos censuit Friedländer in Phil. IV 584, ab eodem quo *Τ* 404—24 poeta additos esse probat Kammer, Zur hom. Fr. II 67 sqq. 495 *ζεύξει* C 496 *ἐυκτιμένῃ*: *ἐντροχάλῳ* S et *γρ.* schol. A et *γρ.* Eust.

ἂς ἄρ᾽ ἀφ᾽ ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον 33
αἵ τ᾽ ἀπ᾽ ἐπισσώτρων. ὃ δὲ ϝίετο κῦδος ἀρέσθαι
Πηλεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.]

ΜΑΧΗ ΠΑΡΑΠΟΤΑΜΙΟΣ.

Ἀλλ᾽ ὅτε δὴ πόρον ἷξον ἐυρρεϝέος ποταμοῖο, Φ
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
ἔνθα διατμήξας τοὺς μὲν πεδίονδε δίωκεν
πρὸς πόλιν, ᾗ περ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο
ἤματι τῷ προτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ·
τῇ ῥ᾽ οἵ γε προχέϝοντο πεφυζότες, ἠέρα δ᾽ Ἥρη
πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν· ἡμίσεες δέ
ἐς ποταμὸν ϝειλεῦντο βαθύρροον ἀργυροδίνην.
ἐν δ᾽ ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ᾽ αἰπὰ ῥέϝεθρα,
ὄχθαι δ᾽ ἀμφὶ περὶ μεγάλ᾽ ἴαχον· οἳ δ᾽ ἀλαλητῷ
ἔννεϝον ἔνθα καὶ ἔνθα, ϝελισσόμενοι περὶ δίνας.
ὡς δ᾽ ὅθ᾽ ὑπὶ ϝριπῆς πυρὸς ἀκρίδες ἠερέθονται
φευγέμεναι ποταμόνδε· τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ᾽ ὕδωρ·
ὣς ὑπ᾽ Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.

504 = *Λ* 169.
Φ 1—2 = *Ξ* 433—4 4 = Z 41. *Φ* 554 5 cf. *O* 605 10^{b} = *B* 149 11^{b} = *Σ* 372 14^{a} = *P* 738 15^{b} = *Ξ* 434 16^{b} = *P* 400. *Λ* 525.

502 *ὀπισσώτρων* S.
Libri *Φ* tres partes distinxi, quarum ultimam (*Φ* 526—611) a sequente libro male a grammaticis divulsam esse docui prol. p. 10, duae priores arcte inter se cohaerent et tamquam eiusdem officinae esse videntur; tamen ut priorem (*Φ* 1—227) ab altera divellerem et veteribus carminibus Iliadis adnumerarem, cum egregia arte et inventionis et elocutionis tum versu finali *Φ* 227 commotus sum, quo accedit, quod et in vetere carmine *X* 46—53 haec prior pars respicitur et de cursu fluminis Scamandri auctori versuum *Φ* 1—8 alia atque vv. *Φ* 233—247 imago obversata esse videtur, cf. prol. p. 43 et 52. v. 1 *πόρον*: *ῥόον* Aristoph. — *ἐυρρεῖος* ACD *ἐυρρῆος* Lips., cf. prol. p. 106 et 169 2 *ἀθάνατον* Zen. 3 *πεδίονδε διωκ.* Lips.: *πεδίονδ᾽ ἐδιωκ.* ACD 4 *Ἀχαιοὶ* AD: *οἱ ἄλλοι* C et A in marg., ut recte legitur Z 41 et *Φ* 554 5 *ὅτε μαιν.* D: *ὅτ᾽ ἐμαιν.* AC 7 *πίτνη* coni. Nauck, cf. prol. p. 148 10 *μέγα ϝίαχον* Bentley, cf. prol. p. 161 11 *ἔννεον*: *γρ. νήχοντ᾽* schol. A — *περὶ* AC: *κατὰ* DS et *γρ.* A, cf. *Φ* 353 12 *ὑπαὶ* C.

αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ᾽ ὄχθῃ 35
κεκλιμένον μυρίκῃσιν, ὃ δ᾽ ἔσθορε δαίμονι ϝῖσος,
φάσγανον οἶον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ϝέργα,
τύπτε δ᾽ ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ᾽ ἀϝεικής
ἄορι θεινομένων, ἐρυθαίνετο δ᾽ αἵματι ὕδωρ.
ὡς δ᾽ ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
φεύγοντες πιμπλᾶσι μυχοὺς λιμένος ἐυόρμου,
δειδιότες· μάλα γάρ τε κατεσθίει ὅν κε λάβῃσιν·
ὣς Τρῶες ποταμοῖο κατὰ δϝεινοῖο ῥέϝεθρα
πτῶσσον ὑπὸ κρημνούς. ὃ δ᾽ ἐπεὶ κάμε χεῖρας ἐναίρων,
ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους,
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος.
τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠύτε νεβρούς,
δῆσε δ᾽ ὀπίσσω χεῖρας ἐυτμήτοισιν ἱμᾶσιν,
τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσιν,
δῶκε δ᾽ ἑταίροισιν κατάγειν κοΐλας ἐπὶ νῆας.
αὐτὰρ ὃ ἂψ ἐπόρουσε δαϊζέμεναι μενεαίνων.
ἔνθ᾽ υἱεῖ Πριάμοιο συνήντετο Δαρδανίδαο
ἐκ ποταμοῦ φεύγοντι Λυκάονι, τόν ῥά ποτ᾽ αὐτός
ἦγε λαβὼν ἐκ πατρὸς ἀλῳῆς οὐκ ἐθέλοντα,
ἐννύχιος προμολών· ὃ δ᾽ ἐρινεὸν ὀξέι χαλκῷ
τάμνε νέους ὄρπηκας, ἵν᾽ ἅρματος ἄντυγες εἶεν·
τῷ δ᾽ ἄρ᾽ ἀνώιστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς.
καὶ τότε μέν μιν Λῆμνον ἐυκτιμένην ἐπέρασσεν
νηυσὶν ἄγων, ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκεν·
κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δ᾽ ἔδωκεν,
Ἴμβριος Ἠετίων, πέμψεν δ᾽ ἐς δῖαν Ἀρίσβην,
ἔνθεν ὑπεκπροφυγὼν πατρώιον ἵκετο δῶμα.
ἕνδεκα δ᾽ ἤματα θυμὸν ἐτέρπετο ϝοῖσι φίλοισιν
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλεν

20—1 = *K* 483—4 24 = *Γ* 25 28^{b} = *Ω* 16 29^{b} = *Δ* 243 30^{b} = *K* 567 31^{b} = *E* 113 32 = *E* 26.

17 *ὁ* suspectum — *ἐπ᾽*: *ἐν* S 18 *γρ. ἔνθορε* schol. A 22 *ὡς ὑπὸ* S 25 *δινοῖο* AD 29 *τοὺς δ᾽* Eust. 33 *αἶψ᾽ ἐσόρουσεν* alios legisse testatur schol. ad *Φ* 18 — *γρ. κατακτάμεναι* A 38 *ὅρπηκας* alios scripsisse referunt schol. A et Herodianus I 538.

πέμψειν εἰς Ἀίδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι. **35**
τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς
γυμνόν, ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος,
ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρώς
φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα·
ὀχθήσας δ' ἄρα ϝεῖπε πρὸς ὃν μεγαλήτορα θυμόν·
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς περ ἔπεφνον,
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος· οὐδέ μιν ἔσχεν
πόντος ἁλὸς πολιῆς, ὃ πολῦς ἀϝέκοντας ἐρύκει.
ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα ϝίδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαείω
ἢ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἤ μιν ἐρύξει
γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει."
   ὣς ὥρμαινε μένων· ὃ δέ ϝοι σχεδὸν ἦλθε τεθηπώς,
γούνων ἅψασθαι μεμαώς, περὶ δ' ἤθελε θυμῷ
ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
ἦ τοι ὃ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεύς
οὐτάμεναι μεμαώς, ὃ δ' ὑπέδραμε καὶ λάβε γούνων
κύψας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
ἔστη, ϝιεμένη χροὸς ἄμεναι ἀνδρομέοιο.
αὐτὰρ ὃ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
τῇ δ' ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον, οὐδὲ μεθίει,
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„γουνοῦμαί σ', Ἀχιλεῦ· σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον.
ἀντί τοί εἰμ' ἱκέταο, διοτρεφές, αἰδοίοιο·
πὰρ γὰρ σοὶ πρώτῳ πασάμην Δημήτερος ἀκτήν,
ἤματι τῷ, ὅτε μ' εἷλες ἐυκτιμένῃ ἐν ἀλωῇ·

48 cf. Σ 240   49 = Λ 599   51 cf. Ε 796   53 = Λ 403   54 = Ν 99   56ᵇ = Ο 191   57ᵇ = ι 17. Ρ 511   64 = Χ 131   65ᵇ = Π 255. Ω 236   66 = χ 14   68ᵇ = κ 323   69-70 = Υ 279—80   71ᵇ = Ζ 45   73 = Α 201   74 = χ 312   76ᵇ = Ν 322   77ᵇ = Υ 496. ω 226. 336.

